31. 2265 31/634
Χ947

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΠΥΡΙΔΩΝΟΣ

Ἐξ ἀρχαίων ἀνεκδότων χειρογράφων τῶν ἐν Βιέννῃ καὶ Ἐνετίᾳ Βιβλιοθηκῶν.

ΝΥΝ ΤΟ ΠΡΩΤΟΝ ΕΚΔΙΔΟΜΕΝΑ

ὑπὸ

ΣΠΥΡΙΔ. ΠΑΠΑΓΕΩΡΓΙΟΥ
Καθηγητοῦ.

ΕΚΔΟΤΗΣ ΜΙΧΑΗΛ Ι. ΣΑΛΙΒΕΡΟΣ

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ
ΜΙΧΑΗΛ Ι. ΣΑΛΙΒΕΡΟΥ
1901

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

Πᾶν ἀντίτυπον φέρει τὴν σφραγῖδα τῶν ἡμετέρων Καταστημάτων.

ΚΑΤΑΣΤΗΜΑΤΑ
ΜΙΧ. Ι. ΣΑΛΙΒΕΡΟΥ
ΕΝ ΑΘΗΝΑΙΣ

# Τοῖς ἐντευξομένοις.

Ἐν τῷ προλόγῳ τῆς τελευταίας ἐκδόσεως τῆς ᾀσματικῆς Ἀκολουθίας τοῦ Ἁγίου Σπυρίδωνος, ἣν ἐφιλοπόνησεν ὁ Στερ. Ραφτάνης τῷ 1883, ἐγράφομεν σὺν τοῖς ἄλλοις τάδε :

«Καθὰ ἀνεκοίνωσεν ἡμῖν ὁ ἐν Ὀδησσῷ ἀρχιμανδρ. Ε. Βουλισμᾶς, σώζεται ἐκεῖ χειρόγραφος Ἀκολουθία τοῦ Ἁγίου. Πλὴν δὲ τούτου γνωστὸν ποιεῖ ἡμῖν ὅτι ἐν Βιέννῃ σώζεται καὶ χειρόγραφος Βίος αὐτοῦ ἐκτενέστατος, καὶ ἕτερος σώζεται ἐν τῇ Μαρκιανῇ βιβλιοθήκῃ τῆς Ἑνετίας. Δὲν θὰ ἐκδοθῶσιν ἆρά γέ ποτε καὶ οὗτοι οἱ Βίοι μετὰ τῆς Ἀκολουθίας ; »

Ἡ εὐχὴ ἐκείνη πραγματοποιεῖται σήμερον. Τυχόντες ἔκτοτε ἀντιγράφων τῶν ἐν Βιέννῃ καὶ Ἑνετίᾳ κωδήκων, οὐ μὴν ἀλλὰ καὶ τῶν παρὰ τῷ Βουλισμᾷ, τῷ κατόπιν ἀειμνήστῳ Ἀρχιεπισκόπῳ Κερκύρας, ἰδίως τῶν ἐξ Ὀδησσοῦ, καὶ ἀντιπαραβαλόντες αὐτὰ πρὸς τὰ ἡμέτερα, κατηρτίσαμεν τὴν παροῦσαν βίβλον, ἧς ἡ δημοσίευσις ὑπὸ διαφόρων περιστάσεων μέχρι τοῦδε παρεχωλήθη. Ἀλλὰ καὶ ἕτερον ἀντίγραφον τῆς βιογραφίας τοῦ Ἁγίου, σωζομένης ἐν χειρογράφῳ ἐν Ἑνετίᾳ, ὁμοίῳ τῷ ἐκ Βιέννης ἡμετέρῳ, εὕρομεν παρὰ τῷ διαδόχῳ τοῦ Βουλισμᾶ Σεβ. ἀρχιεπισκόπῳ Σεβαστιανῷ Νικοκάβουρα, πρώην ἐφημερίῳ τῆς ἐκεῖ Ἑλλην. Κοινότητος· καὶ τὸ ἀντίγραφον λοιπὸν τοῦτο ἀτιπαραβάλλομεν ἐν τῇ ἐκδόσει ταύτῃ.

Ἡ γνωστὴ Ἀκολουθία τοῦ ἁγίου δεκατετράκις μέχρι τοῦδε ἐξεδόθη, ὥστε ἡ νῦν τὸ πρῶτον αὐτὴ ἐκδιδομένη, εἶναι ἡ δεκάτη πέμπτη κατὰ σειρὰν ἐκδόσεως. Α΄) ἥτο ἡ ἐν Ἑνετίᾳ τῷ 1674 παρ' Ἀνδρέᾳ τῷ Ἰουλιανῷ· Β΄) ἐν Ἑνετίᾳ τῷ 1717, τύποις Νικ. Σάρρου, ἐπιμελείᾳ καὶ ἀναλώμασι Πέτρου Κασιμάτη, ἰατροφιλοσόφου Κερκυραίου· Γ΄) ἐν Βουκουρεστίῳ τῷ 1736 παρὰ Στώϊκα Ἰακωβίτση, ἐπιμελείᾳ Κωνστ. Δαπόντε, συνεκδοθεῖσα ἐν μιᾷ βίβλῳ μετὰ τῶν Ἀκολουθιῶν τοῦ ἁγίου Χαραλάμπους καὶ τῆς ὁσίας Ματρώνας τῆς Χιοπολίτιδος. Δ΄) ἐν Ἑνετίᾳ τῷ 1764, παρ' Εὐσ. Βόρτολι· Ε΄) ἐν Ἑνετίᾳ τῷ 1777—79 παρὰ Νικ. Γλυκεῖ· ϛ΄) ἐν Ἑνετίᾳ τῷ 1778 παρὰ Νικ. Σάρρῳ· Ζ΄) ἐν Ἑνετίᾳ τῷ 1807 παρὰ Ν. Γλυκεῖ· Η΄)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ…

ἐν Ἐνετίᾳ παρὰ τῷ αὐτῷ, 1810· Θ') ἐν Ἐνετίᾳ παρὰ τῷ αὐτῷ, 1813· Ι') ἐν Κερκύρᾳ, τῷ 1847 ἐκ τοῦ τυπογραφείου τῆς Ἰουνίου Κυβερνήσεως, ἐπιμελείᾳ Ἰω. Τζεϊμπέντη. ΙΑ') ἐν Ἐνετίᾳ τῷ 1861, τύποις Φοίνικος· ΙΒ') ἐν Κερκύρᾳ, τῷ 1872 ἐκ τῆς τυπογραφίας Κοραῆ· ΙΓ') ἐν Ἐνετίᾳ τῷ 1880 ἐκ τοῦ Φοίνικος, ἀναλώμασι τοῦ κερκυραίου Σ. Μελίκη· ΙΔ') ἐν Ἀθήναις τῷ 1883, ἐκ τοῦ τυπογραφείου Στ. Χ. Ραφτάνη (1).

Οἱ κώδηκες τῆς νῦν δημοσιευομένης ἱερᾶς Ἀκολουθίας εἰσὶν οἱ ὑπ' ἀριθ. 153 καὶ 158 τῆς ἐν Ἐνετίᾳ βιβλιοθήκης τοῦ ἁγ. Μάρκου, ὄντες βαμβακοχάρτινοι, καὶ ἔχοντες ὑπὸ τὸ κείμενον τροπαρίων τινῶν καὶ μουσικὰ σημεῖα τῆς παλαιοτέρας ἀνατολικῆς μουσικῆς, ὧν πολλὰ τὴν σήμερον περιέπεσαν εἰς ἀχρηστίαν. Ἡ δὲ μελοποίησις τῶν τροπαρίων αὐτῶν εἶναι βεβαίως ἔργον Ἰωάννου τοῦ Γλυκέος, ὅστις ἦτο μουσουργὸς ἄριστος. Ἐν τῇ βιβλιοθήκῃ τῆς Ἐνετίας τὸ χειρόγραφον καταλέγεται ἐν τοῖς χειρογράφοις τοῦ Nani (Clas. II, Cod. CLIII — CLVIII), τοῦ ἐνετοῦ ἐκείνου τὴν πατρίδα ἄρχοντος, ὅστις πολλὰ ἐδαπάνησεν ὅπως καταρτίσῃ συλλογὴν πολυτίμων ἑλληνικῶν ἐξ ἀνατολῆς χειρογράφων, ἅτινα μετὰ θάνατον ἐδωρήσατο τῇ Μαρικανῇ (Codices Naniani).

Τὸ χειρόγραφον προέρχεται ἐκ Κρήτης, ὡς δηλοῖ ἡ ἐν τέλει ἑξῆς σημείωσις, « Ἐγράφη ἡ ἀκολουθία αὕτη διὰ χειρὸς ἐμοῦ Δημητρίου τοῦ Ταμία καὶ πρωτοψάλτου Κρήτης τοῦ Δραματινοῦ, καὶ οἱ ψάλλοντες αὐτὴν εὔχεσθέ μοι διὰ τὸν Κύριον· τῷ αχλδ' (=1634) Φεβρουαρίου ... (;)». Δύο ἐκ τῶν τροπαρίων, τὸ στιχηρὸν «Χαίροις Ἱεράρχα πάνσοφε» καὶ τὸ Ἀπολυτίκιον, τὸ ὁποῖον κατά τι παραλλάσει ἀπὸ τοῦ γνωστοῦ, δὲν ὑπάρχουσιν ἐν τῷ κώδηκι τῆς Ἐνετίας, ἐλάβομεν δὲ αὐτὰ ἐκ τοῦ ἀντιγράφου τοῦ Βουλισμᾶ.

Πολλὰ τῶν ἐν τῇ ἡμετέρᾳ Ἀκολουθίᾳ δημοσιευομένων τροπαρίων, ἰδίᾳ ὁ κανὼν τοῦ ὄρθρου, εἰσὶ γνωστὰ καὶ ἐκ τῶν παλαιοτέρων ἐκδόσεων· πάντα ὅμως σχεδὸν τὰ στιχηρὰ τοῦ ἑσπερινοῦ, τὰ ἰδιόμελα τῆς λιτῆς, τὰ ἀπόστιχα, τὰ Δοξαστικὰ καὶ πάντα τὰ Ἐγκώμια τυγχάνουσι τέως ἄγνωστα. Καὶ τὰ μὲν πλεῖστα τούτων ἐπιγράφονται ἐν τοῖς χειρογράφοις ὡς ἔργα

(1) Ἐν τῷ προλόγῳ τῆς τελευταίας ταύτης ἐκδόσεως ὠνομάζομεν αὐτὴν *δεκάτην*, διότι ἀγνοοῦντες παρελείψαμεν τέσσαρας, τὰς τῶν ἐτῶν 1736, 1777, 1778 καὶ 1810.



Μανουὴλ τοῦ Χρυσάφη, ὀλίγα δὲ τοῦ Μεγ. Σακελλαρίου τοῦ Μελιτινιώτη, καὶ Ἰωάσαφ καὶ τοῦ Ἰωάννου Γλυκέος. Ὥστε ἡ Ἀκολουθία δύναται νὰ ὀνομασθῇ ἔργον κυρίως τοῦ Χρυσάφη.

Καὶ ὁ μὲν Μελιτινιώτης ἤκμασε τὸν ΙΓ' αἰῶνα ἐπὶ πατριάρχου Ἰωάννου τοῦ Βέκκου, τοῦ πατριαρχεύσαντος ἀπὸ τοῦ 1275 μέχρι τοῦ 1882. Ὁ Ἰωάσαφ εἶναι καὶ αὐτὸς ὁ παλαιὸς ἀσματογράφος καὶ ποιητὴς ἐκκλησιαστικός. Ἰωάννης ὁ Γλυκὺς θεωρητέος μᾶλλον ὡς μουσικὸς ἢ ὡς ποιητὴς τροπαρίων· αὐτὸς ἐμελοποίησε πολλὰ γνωστὰ ἐκκλησιαστικὰ ᾄσματα, αὐτὸς ἐτόνισε καὶ τὰ τροπάρια τῶν κωδήκων τῆς Μαρικανῆς· εἶναι δὲ οὗτος ἀναμφιβόλως ὁ πατριάρχης Κωνσταν[πόλεως Ἰωάννης ὁ ΙΓ', ὅστις, λαϊκὸς ὢν ἔγγαμος πρῶτον, καὶ ἐπὶ παιδείᾳ διακρινόμενος, ἐπατριάρχευσεν ἀπὸ τοῦ 1315 μέχρι τοῦ 1320. Μανουὴλ δὲ Χρυσάφης εἶναι ὁ καὶ ἄλλως ὀνομαζόμενος Δούκας ἢ Δοὺξ Χρυσολωρᾶς Χρυσάφης, ὁ πρεσβύτερος (διότι ὑπάρχει καὶ ἕτερος Χρυσάφης, ὁ νεώτερος). Τούτου μόνον ἔργον εἰς τὸν ἅγ. Σπυρίδωνα γνωρίζομεν μέχρι τοῦδε τὸ ὀκτώηχον δοξαστικὸν Θεαρχίῳ Νεύματι. Ἤκμασε κατὰ τὸν ΙΕ' αἰῶνα ἐπὶ τοῦ τελευταίου αὐτοκράτορος τῆς Κωνσταντινουπόλεως Κωνσταντίνου τοῦ Παλαιολόγου καὶ ἐχρημάτισε Λαμπαδάριος τῆς Μεγ. Ἐκκλησίας ἐπὶ τῆς Ἁλώσεως (1453)· ὢν δὲ ποιητὴς καὶ ἄριστος μουσικοδιδάσκαλος, ἔχει γράψῃ καὶ ἄλλα γνωστὰ τροπάρια, σωζόμενα, εἰς διαφόρους ἑορτάς, στιχηρά, κανόνας, ἀνοιξαντάρια κ.τ.λ. (1).

Ἐκ τῶν ἀνωτέρω δηλοῦται ὅτι ἡ νῦν δημοσιευομένη Ἀκολουθία εἶναι κατὰ τὸ πλεῖστον πολὺ ἀρχαιοτέρα τῆς γνωστῆς, ἥτις εἶναι, ἐκτὸς ὀλίγων ᾀσμάτων, ποίημα τοῦ πολὺ νεωτέρου Νικολάου τοῦ Βουλγάρεως. Ὁ κατὰ τὸν ΙΖ' αἰῶνα ζήσας κερκυραῖος οὗτος ἰατροφιλόσοφος, μὴ εὑρὼν βεβαίως πλήρη ἀκολουθίαν, ἔλαβε τὰ γνωστὰ αὐτῷ ἀρχαῖα τροπάρια καὶ συνεπλήρωσε τὴν ὅλην ἀκολουθίαν, αὐτὸς συνθέσας τὰ λοιπά, μάλιστα τὰ Ἐγκώμια καί τινα τροπάρια, ἀναφερόμενα εἰς τὰ θαύματα τοῦ λειψάνου τοῦ Ἁγίου μετὰ τὴν εἰς Κέρκυραν μετακόμισιν αὐτοῦ.

Ἐκ τῶν τροπαρίων τοῦ Μελιτινιώτου, ἀκμάσαντος τὸν ΙΓ'

(1) Γεωρ. Παπαδοπούλου, Συμβολαὶ εἰς τὴν Ἱστορ. τῆς Ἐκ. Μουσικ. 292.

αἰῶνα, τὸ Δοξαστικὸν « Εὗρες μὲν τῇ πολιτείᾳ σου » ἐγράφη κατὰ μίμησιν τοῦ ἀρχαιοτέρου δοξαστικοῦ τοῦ ἁγίου Δημητρίου « Ἔχει μὲν ἡ θειοτάτη σου». Ἐὰν δὲ ἡ ἐν αὐτῷ ἔκφρασις, «ἔχει τὸ πανίερον καὶ θεοχαρίτωτόν σου σῶμα τὸν περίκλυτον τοῦτον ναὸν ἐπὶ γῆς, ἔνθα συντρέχοντες σὲ δοξάζομεν» ἀναφέρεται εἰς τὸν ἐν Κύπρῳ ναὸν τοῦ ἁγίου Σπυρίδωνος, δηλοῦται ἐξ αὐτοῦ ὅτι τὸ ἱερὸν λείψανον μέχρι τῆς ἐποχῆς ἐκείνης ἐφυλάσσετο ἐν τῇ νήσῳ ταύτῃ· ἐὰν ὅμως, ὅπερ καὶ πιθανώτερον, ἀναφέρεται εἰς τὸν ἐν Κωνσταντινουπόλει ναὸν τῶν ἁγ. Ἀποστόλων, τὸν προσκείμενον, ὡς γνωρίζομεν, τῇ Μ. Ἐκκλησίᾳ, βεβαιοῦται ὅτι αὐτὸ πρὸ πολλοῦ ἤδη εἶχε μετακομισθῇ εἰς τὴν βασιλεύουσαν, κατατεθὲν εἰς τὸν μέγιστον, μετὰ τὴν ἁγίαν Σοφίαν, ναὸν αὐτῆς. Ἐκ δὲ πολλῶν τοῦ Χρυσάφη τροπαρίων (ΙΕ'. αἰὼν) καταδηλοῦται ὅτι καὶ ἐν τῇ βασιλίδι τῶν πόλεων ἐξόχως ἐτιμᾶτο τὸ λείψανον, ἐτελεῖτο ἐκεῖ ἡ Σύναξις αὐτοῦ καὶ συνήρχοντο κατὰ τὴν τοῦ ἁγίου ἑορτὴν «αἱ ὑπέρτατοι τῶν ἐπὶ γῆς ἀξίαι σὺν Βασιλεῖ ἡγεμόνι.»

Καὶ ταῦτα μὲν περὶ τῆς Ἀκολουθίας, ἣν δημοσιεύομεν πλήρη, συμπεριλαβόντες μετὰ τῶν ἀνεκδότων καὶ τέως ἀγνώστων καὶ τὰ γνωστὰ αὐτῆς.

Ὁ δὲ Βίος τοῦ ἁγίου εἶναι ἐκεῖνος ὅστις περιέχεται ἐν τῷ 31ῳ ἑλληνικῷ κώδηκι τῆς ἐν Βιέννῃ Καισαροβασιλικῆς βιβλιοθήκης (Cod.Hist.Graec.XXXI) ἀπὸ τοῦ φύλ. 136 μέχρι τοῦ φύλ. 161.

Τὸ χειρόγραφον τοῦτο εἶναι ἐπὶ περγαμηνῆς, κάλλιστα διατηρουμένης, καὶ ἀνήκει, καθὰ ἐβεβαίου ἡμᾶς ὁ βιβλιοφύλαξ κ. Μύνχς, εἰδήμων περὶ τὴν παλαιογραφίαν, εἰς τὸν ΙΓ' αἰῶνα· δι' ὃ καὶ ἐν τοῖς χειρογράφοις τῆς ἑκατονταετηρίδος ἐκείνης ἐν τῇ βιβλιοθήκῃ κατετάχθη. Τὸ εἶδος ἄλλως καὶ σχῆμα τῶν γραμμάτων οὐδεμίαν ἀφίνει περὶ τούτου ἀμφιβολίαν. Ἕτερον ἀντίγραφον τῆς αὐτῆς βιογραφίας σώζεται ἐν τῇ Μαρκιανῇ τῆς Ἑνετίας, πολὺ ἐφθαρμένον ὅμως καὶ δυσανάγνωστον. Ἀλλὰ τοῦτο δὲν εἴδομεν· οὐχ ἧττον ἓν μὲν ἀντίγραφον αὐτοῦ, λίαν ἀτελές, εἶχεν ὁ Βουλισμᾶς, ἕτερον δέ, πληρέστερον, ὡς εἴπομεν, παρέσχεν ἡμῖν εὐμενῶς πρὸς ἀντιπαραβολὴν ὁ Ἀρχιεπίσκοπος Σεβαστιανός. Ἐκδίδοντες οὕτω τὸν τῆς Βιέννης κώδηκα ὑποσημειοῦμεν καὶ τὰς κατὰ Βουλισμᾶν (Β) καὶ Νικοκάβουραν (Ν) διαφόρους τοῦ κειμένου γραφάς.



Ὁ συγγραφεὺς τῆς Βιογραφίας ταύτης ὀνομάζει ἑαυτὸν Θεόδωρον Ἐπίσκοπον Πάφου τῆς ἐν Κύπρῳ. Τίς οὗτος καὶ πότε ἤκμασεν ἀκριβῶς, οὔτε ἡμεῖς γινώσκομεν, οὔτε ὁ Μακαριώτατος Ἀρχιεπίσκοπος Κύπρου, παρ' οὗ ἐζητήσαμεν πληροφορίας, ἠδυνήθη νὰ ἐξακριβώσῃ. Οὐδεμία ὅμως ἀμφιβολία, ὡς κατωτέρω ὀψόμεθα, ὅτι ἔζησε τὸν Ζ'. αἰῶνα, καὶ συνεπῶς ἀπὸ τῆς ἐποχῆς ἐκείνης χρονολογεῖται ἡ ἀνὰ χεῖρας βιογραφία· ὥστε εἶναι τρεῖς ὅλας ἑκατονταετηρίδας παλαιοτέρα τῆς γνωστῆς, τῆς συνταχθείσης ὑπὸ Συμεῶνος τοῦ Μεταφραστοῦ· διότι οὗτος, ὡς γνωστόν, ἔζησε κατὰ τὸν δέκατον αἰῶνα.

Παραβάλλοντες δὲ τοὺς δύο βιογράφους, Συμεῶνα τὸν Μεταφραστὴν καὶ Θεόδωρον τὸν Πάφου, πειθόμεθα ἀμέσως ὅτι ὁ δεύτερος εἶναι ἀρχαιότερος καὶ ἐκτενέστερος τοῦ πρώτου· ἀλλὰ καὶ λέξεις καὶ φράσεις τινὲς τοῦ Μεταφραστοῦ μαρτυροῦσιν ὅτι τὸν Θεόδωρον εἶχεν ὑπ' ὄψει καὶ περιληπτικώτερον ἐξ ἐκείνου συνέτταττε τὸν βίον τοῦ ἁγίου τὸν γνωστόν. Ὅτι ὁ παρὰ τοῦ Θεοδώρου συνταχθεὶς βίος εἶναι πολὺ ἀρχαιότερος ἀποδεικνύουσι καὶ τὰ πολλὰ τροπάρια τῆς ἡμετέρας ἀνεκδότου Ἀκολουθίας· διότι προφανῶς ἐξ αὐτῆς ἔλαβον οἱ συνθέσαντες αὐτὰ οὐ μόνον λέξεις καὶ φράσεις ἀλλὰ καὶ ἀναμνήσεις πράξεων καὶ θαυμάτων τοῦ Ἁγίου. Τὸ λεκτικὸν δὲ αὐτῆς ἐν γένει εἶναι καλὸν καὶ ῥέον ἐν ὁμαλότητι καὶ φρασεολογίᾳ ἀνθηρᾷ, καί τοι ἐνιαχοῦ, ἀλλὰ σπανίως, παρατηροῦνται ἀνωμαλίαι τινες, κοινὸν ἐλάττωμα τῆς κατὰ τὸν μεσαιῶνα παρακμαζούσης γλώσσης.

Ἀναλύοντες τὸ περιεχόμενον τῶν δύο βιογραφιῶν βλέπομεν ὅτι, ἐνῶ τὸ τοῦ Μεταφραστοῦ προοίμιον «Μεγίστην εἰς ψυχῆς ὠφέλειαν κ.λ.» ἐγράφη ἀπὸ ἀσκητικῆς ἀπόψεως, ὅπως συνηθίζει ἄλλως ὁ Συμεὼν νὰ συντάττῃ τοὺς τῶν ἁγίων βίους, ὁ Θεόδωρος Πάφου ἐν τῷ προλόγῳ, (κεφ. α'.) « Ἐν ἀρχῇ ἦν ὁ Λόγος» (¹) ἐξαιτεῖται τὴν θείαν ὁδηγίαν καὶ χάριν, ὅπως ἀφηγηθῇ τὰ κατὰ τὸν Ἅγιον. Ὁ ἡμέτερος ἱστορικὸς εἶναι ἐκτενέστερος καὶ περιγραφικώτατος· αἱ ἀφηγήσεις αὐτοῦ ἐν γένει γράφονται ἐκθετικώτερον· τοιαῦται εἶναι αἱ περὶ τῆς πρώτης ἀγωγῆς τοῦ Σπυρίδωνος μέχρι τῆς χειροτονίας αὐτοῦ εἰς ἐπίσκοπον (κεφ. β'.)— περὶ τοῦ ἐν ἀνομβρίᾳ θαύματος (γ'.)— τοῦ σκλη-

(¹) Διηρέσαμεν τὸν βίον εἰς κεφάλαια, πρὸς εὐχερεστέραν αὐτοῦ ἀντιπαραβολήν.

ροῦ σιτεμπόρου (δ'.)—τοῦ εἰς χρυσὸν μεταβληθέντος ὄφεως (ε'.) —τῆς ἀναστολῆς τοῦ ροῦ τοῦ ποταμοῦ (ς')—τοῦ ἐλέγχου τῆς πόρνης γυναικός (ζ'.) — καὶ τῆς ἐν Νικαίᾳ Συνόδου (η'.).

Τὰς διηγήσεις ταύτας παραλαβὼν ὁ Μεταφραστὴς παρὰ τοῦ ἡμετέρου Θεοδώρου συνέτεμεν αὐτάς. Τὴν ἐν Νικαίᾳ Οἰκουμ. Σύνοδον ὁ Πάφου Θεόδωρος ἀφηγεῖται λίαν ἐκτενῶς. Καὶ μέχρι μὲν ταύτης ἡ σειρὰ τῆς διηγήσεως χωρεῖ ἡ αὐτὴ παραλλήλως παρ' ἀμφοτέροις· ἀπ' αὐτῆς δὲ παραλάσσει. Τὰ ἐν κεφ. θ'. περὶ Παφνουτίου καὶ περαιτέρω τῶν κατὰ τῶν αἱρετικῶν ἀποφάσεων παραλείπει ὁ Συμεών· τὰ δ' ἀπὸ τοῦ ι'. κεφ. μέχρι τοῦ ιθ'. πάλιν ἐξακολουθοῦσι παρ' ἀμφοτέροις τὴν αὐτὴν σειράν, ἀλλ' ὁ Θεόδωρος εἶναι ὡς πάντοτε ἐκτενέστερος καὶ διηγηματικώτερος. Ἐν τοῖς ἑπομένοις ἡ διαφορὰ εἶναι ἐπαισθητοτέρα· διότι ἐκ τῶν ἐννέα κεφαλαίων τοῦ Θεοδώρου, κ'—κη', μόνον τὰ ἓξ ἔχουσι τὰ ἀνάλογά των παρὰ τῷ Συμεῶνι, καὶ οὐχὶ κατὰ τὴν αὐτὴν σειράν· ἤτοι αἱ διηγήσεις περὶ τῶν ψεκάδων τῆς δρόσου ἐπὶ τοῦ Ἁγίου ἐν θέρει (κεφ. κ'.) — περὶ τῶν ἐν μεσονυκτίῳ κλεπτῶν (κα'.) — περὶ τοῦ ἐν Ἀλεξανδρείᾳ εἰδώλου (κδ'.)— περὶ τοῦ κατακριθέντος δανειστοῦ (κε'.) — περὶ τοῦ διασωθέντος προσκυνητοῦ (κς'.) — καὶ ὁ ἐπίλογος (κη'). Τὰ περὶ τοῦ εἰδώλου ἰδίως καὶ ὁ ἐπίλογος εἰσὶν ἐκτενέστατα· δεικνύει δὲ συγχρόνως ὁ ἐπίλογος προφανῶς ὅτι ὁ Συμεὼν τὸν Θεόδωρον εἶχεν ὑπ' ὄψει· διότι καθὼς οὗτος, τοιουτοτρόπως καὶ ἐκεῖνος τονίζει τὴν ἰδέαν ὅτι ὁ Ἅγιος διὰ τὴν ταπείνωσιν αὐτοῦ μάλιστα ἠξιώθη τῆς παρὰ Θεοῦ χάριτος.

Τὰ ἐν τῷ κα'. κεφαλ. περιεχόμενα εἰσὶ πιστὴ ἀντιγραφὴ τῶν παρὰ τοῦ ἐκκλησιαστικοῦ ἱστορικοῦ Σωκράτους ἐν κεφ. 22 ἱστορουμένων· αἱ δὲ διηγήσεις τέλος τῶν κεφαλαίων κγ' καὶ κζ'. εἰσὶν ὅλως ἄγνωστοι τῷ Μεταφραστῇ. Ὥστε ὁ Θεόδωρος ὄχι μόνον εἶναι πολὺ ἐκτενέστερος ἐν τῇ βιογραφίᾳ τοῦ ἁγίου ἀλλὰ καὶ περιέχει πέντε κεφάλαια ὅλως εἰς ἡμᾶς νέα.

Ἄξια σημειώσεως εἶναι τὰ ἐν κά. κεφαλαίῳ, ἐν ᾧ ὁ Θεόδωρος μαρτυρεῖ ὅτι τὸν βίον τοῦ ἁγίου ἠρύσθη ἐκ βίβλου τινός, ἐν ἰαμβικοῖς στίχοις γεγραμμένης καὶ ἀποδιδομένης εἰς τὸν μαθητὴν τοῦ Σπυρίδωνος Τριφύλλιον. Καὶ πιθανὸν μὲν ἡ βίβλος ἐκείνη νὰ μὴ ἦτο αὐτόχρημα ἔργον ἐκείνου, ἀλλὰ μαθητοῦ τινος αὐτοῦ, ἢ νὰ



περιεῖχε τὸν βίον τοῦ Ἁγίου κατὰ παράδοσιν μόνον στοματικὴν τοῦ Τριφυλλίου, ἣν ὁ ἄγνωστος καταγράψας, πρὸς μεγαλείτερον κῦρος ν' ἀπέδωκεν εἰς τὴν γραφίδα τοῦ Τριφυλλίου· καὶ τοῦτο ὅμως ἂν παραδεχθῶμεν, πάλιν προχωροῦμεν πολὺ εἰς τὴν ἀρχαιότητα, ἥτις οὕτω δίδει μεῖζον κῦρος καὶ ἀξίαν καὶ αὐθεντίαν εἰς τὴν Βιογραφίαν ταύτην. Ἡ παρατήρησις ἄλλως, ἣν αὐτὸς ὁ Θεόδωρος κάμνει, ὅτι πιθανῶς νὰ μὴ εἶναι αὐτὸς ὁ Τριφύλλιος ὁ συγγραφεὺς «ἀλλ' ἕτερός τις, μετασχὼν μὲν παιδείας, ἐπιγράψας δὲ αὐτὴν ἐκ πολλῆς πρὸς ἐκεῖνον ἀγάπης εἰς ὄνομα αὐτοῦ, ἢ ὅτι ἴσως κατὰ τύχην οὕτως ὠνομάζετο ὁ συγγραφεὺς ἀποδεικνύει τὸν Πάφου Θεόδωρον ὀξύνουν κριτικὸν καὶ λογιώτατον.

Περὶ τῆς ἐν ἰαμβικῆς στίχοις βιογραφίας ἐκείνης οὐδεμία ἄλλη δυστυχῶς σώζεται εἴδησις. Τὰ ἐν κεφ. κγ'. ὅμως ὑπὸ τοῦ Θεοδώρου ἐκτιθέμενα ἔχουσι μεγίστην σπουδαιότητα, διότι ὁρίζουσι τὴν ἐποχήν, καθ' ἣν περίπου ἔζη οὗτος καὶ συνέγραψε συνεπῶς τὸν βίον τοῦ Ἁγίου.

Λέγει δῆλα δή, ὅτι μοναχός τις τῆς ἐν Κύπρῳ μονῆς τοῦ Συμβόλου, Ἰωάνης ὀνόματι, ἀνεψιὸς τοῦ ἐπισκόπου τῆς ἐν Κύπρῳ πόλεως Θεοδοσιάδος, ὃν αὐτὸς ὁ Θεόδωρος ἔκειρεν εἰς μοναχόν, ἀφηγήθη αὐτῷ ὅτι «κατὰ τὸν καιρόν, ἐν ᾧ εἰσῆλθον οἱ Πέρσαι ἐν Αἰγύπτῳ» μετέβη εἰς Ἀλεξάνδρειαν, ἀλλ' ἔσπευσε νὰ ἀπέλθῃ ἐκεῖθεν ταχέως διὰ τὸν φόβον τῆς περσικῆς ἐπιδρομῆς. Συνώδευε δὲ τὸν Ἰωάννην, διάκονός τις, ὀνόματι Στέφανος, ὅστις ἔδωκεν αὐτῷ τὸ βιβλίον, τὸ περιέχον τὸν βίον τοῦ Ἁγίου. Τίς ἡ περσικὴ αὕτη εἰς Αἴγυπον ἐπιδρομή; Οὐδεμία ἄλλη βεβαίως ἢ ἡ ἐπὶ τοῦ Αὐτοκράτορος τῆς Κωνσταντινουπόλεως Ἡρακλείου. Εὗρε τὸ κράτος ὁ Ἡράκλειος, ἀφ' ἧς ἐβασίλευσε τῷ 610 μ. Χ, περιπεπλεγμένον εἰς ἐπικινδύνους ἀγῶνας πρὸς τοὺς Πέρσας, οἵτινες ἐντὸς πενταετίας (611—616) κατέλαβον διαδοχικῶς ἐπιδραμόντες τὴν Συρίαν, τὴν Παλαιστίνην, τὴν Αἴγυπτον κατόπιν, καὶ τέλος τὴν Μικρασίαν, στρατοπεδεύσαντες τῷ 617 ἐν Χαλκηδόνι ἀπέναντι τῆς Κων[πόλεως, ἣν ἐμάστιζε λιμός, ἀκριβῶς διὰ τὴν ἀπώλειαν τῆς σιτοφόρου Αἰγύπτου. Μόλις δὲ τῷ 627 κατώρθωσεν ὁ Ἡράκλειος νὰ κατανικήσῃ τοὺς Πέρσας καὶ τὸν βασιλέα αὐτῶν Χοσρόην καὶ νὰ ἐπανακτήσῃ πάσας τὰς ἀπολεσθείσας χώρας, ἐν αἷς καὶ τὴν Αἴγυπτον. Ἐκ τοῦ

χρονολογικοῦ τούτου ὑπολογισμοῦ ὁρμώμενοι βεβαιούμεθα ὅτι τὸν βίον τοῦ Ἁγίου ἔγραψεν ὁ Πάφου Θεόδωρος περὶ τὰς ἀρχὰς ἢ τὰ μέσα τοῦ ἑβδόμου αἰῶνος, ἤτοι τρεῖς ὅλας ἑκατονταετηρίδας πρὶν ἢ γράψῃ ὁ Μεταφραστὴς Συμεὼν τὴν γνωστὴν τοῦ ἁγίου Βιογραφίαν.

Σημειωτέον δὲ καὶ ἐκ τοῦ τέλους τοῦ κγ΄. κεφαλ. καὶ τῆς ἀρχῆς τοῦ κδ΄. ὅτι ὁ βίος τοῦ ἁγίου καὶ τὰ θαυμάσια ἔργα αὐτοῦ εἶχον ἤδη γραφῆ καὶ διὰ βιβλίων παραδοθῆ ἐν πάσῃ τῇ Ἐκκλησίᾳ, οὐ μὴν ἀλλὰ καὶ εἰκονίζοντο ἐν ἱεραῖς εἰκόσιν. Ἐπίσης μᾶς πληροφορεῖ τὸ κδ΄. κεφ. ὅτι τὸ λείψανον τοῦ ἁγίου κατὰ τὴν ἐποχὴν ἐκείνην ἀπέκειτο ἐν τῇ πόλει Τριμυθούντων, ἐπάνω τοῦ μέσου Πυλῶνος, ἤγουν τῆς ἀρχοντικῆς θύρας τοῦ Ναοῦ. Ἡ ἔκφρασις αὕτη εἶναι ὀλίγον σκοτεινή· εἰκάζομεν ὅμως ὅτι τὸ λείψανον ἦτο κατατεθειμένον μεταξὺ τοῦ Νάρθηκος καὶ τοῦ κυρίως Ναοῦ, ἐπὶ τῆς μεταξὺ αὐτοῦ Πύλης.

Παραδόξως ἐν κεφλ. κϛ΄. λέγεται ὅτι ἡ μνήμη τοῦ Ἁγίου τελεῖται τὴν 14 Δεκεμβρίου. Ἡ ρωμαϊκὴ ἐκκλησία ἐπίσης, ὡς γνωστόν, ἑορτάζει τὸν Ἅγιον οὐχὶ τὴν 12 ἀλλὰ τὴν 14 τοῦ μηνός. Ἴσως παρὰ τῷ ἀντιγραφεῖ παρεισέφρυσε γραφικὸν λάθος, τόσῳ μᾶλλον ὅσῳ εὔκολος ἡ σύγχυσις τῶν γραμμάτων β (=2) καὶ δ (=4). Δὲν εἶναι ἀπίθανον ὅμως καὶ νὰ παρετείνετο ἡ ἑορτὴ καὶ τότε ἐν Κύπρῳ, ὡς νῦν ἐν Κερκύρᾳ, ἐπὶ τρεῖς ἢ πλείονας ἡμέρας χάριν τῶν προσκυνητῶν. Καθότι καὶ ἐκ τῆς συνεχείας τοῦ κϛ΄. κεφαλαίου μανθάνομεν ὅτι μετὰ τῆς ἑορτῆς συνήπτετο ἐν Τριμυθοῦντι εἶδός τι ἀγορᾶς (bazar), ὅπου πολλοὶ προσκυνηταὶ ἠγόραζον καὶ ἐπώλουν ἐνδύματα, σκεπάσματα καὶ ἄλλα ἀντικείμενα.

Τοσαῦτα ἐκρίναμεν δέον νὰ προτάξωμεν τῆς νέας ἐκδόσεως τῆς Ἀκολουθίας καὶ τῆς Βιογραφίας τοῦ Ἁγίου Σπυρίδωνος ὧν ἡ πρώτη τυγχάνει ἀρχαιοτάτη καὶ ἦτο ἐν χρήσει ἐν τῇ Ἐκκλησίᾳ πολὺ πρὸ τῆς Ἁλώσεως, ἡ δὲ δευτέρα ὁμοίως εἶναι πολὺ παλαιοτέρα τῆς τέως γνωστῆς.

Ἔγραφον ἐν Ἀθήναις κατὰ Μάρτιον τοῦ 1901

ΣΠΥΡΙΔΩΝ Κ. ΠΑΠΑΓΕΩΡΓΙΟΣ

# ΜΗΝΙ ΔΕΚΕΜΒΡΙΩ ΙΒ΄.

**Κοίμησις τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν καὶ Θαυματουργοῦ**

## ΣΠΥΡΙΔΩΝΟΣ

Ἐπισκόπου Τριμυθοῦντος τοῦ ἐκ τῆς Κύπρου.

---

Ἑσπέρας ἐν τῷ μικρῷ Ἑσπερινῷ εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχηρὰ ἦχ. α΄. Ὢ τοῦ παραδόξου. Ἐμ. Χρυσάφη.

Σήμερον πιστοὶ χορεύσωμεν, ἐν ᾠδαῖς καὶ ὕμνοις τῷ Κυρίῳ ψάλλοντες, τιμῶντες καὶ τὸν αὐτοῦ Ἀρχιερέα λαμπρῶς· τὸν ἄκακον ἀληθῶς, τὸν εὐσεβείᾳ καὶ θαύμασι λάμψαντα, Σπυρίδωνα τὸν σοφόν, τῆς Ἐκκλησίας τὸ κλέος, βοήσωμεν· χαίροις καλλονὴ πατέρων καὶ ὁσίων καύχημα, καὶ ἁγίων ἁπάντων κορωνὶς καὶ σεμνολόγημα.

Βαβαὶ τῶν σῶν μυστηρίων (1) σοφέ· πῶς νεκρὰν ὡς ζῶσαν ὡμίλεις μακάριε· καὶ ὄμβρους ἐξ οὐρανοῦ ραγδαίους ἤνεγκας· ποτάμιον δ' αὖθις ροῦν, σῇ πρὸς θεὸν προσευχῇ ἀνεχαίτισας· καὶ βασιλέα πιστόν, τετρυχωμένον νοσήματι ἠγει-

(1) Θαυμασίων, κατ' ἄλλην γραφήν.

ρας, ὄφιν δὲ ἀληθῆ εἰς εἶδος χρυσοῦν κατεσκεύασας, καὶ σιγὴν τοῦ λευΐτου, θεραπείᾳ πάλιν ἔτρεψας.

Τὴν σὴν δοξάζουσι κοίμησιν ἀρχαγγέλων δῆμος καὶ ὁσίων σύλλογοι, καὶ πάντων ἱεραρχῶν θεία ὁμήγυρις. Εὐφραίνονται οὖν λαμπρῶς ἐπὶ τῆς γῆς βασιλεῖς τε καὶ ἄρχοντες, ἀρχιερεῖς, ἱερεῖς, μετ' εὐλαβείας καὶ πόθου κραυγάζοντες· χαίροις Κωνσταντίνου (1) πόλις, ἡ πλουτοῦσα μέγιστον, ἱεράρχην καὶ ῥύστην ἐν κινδύνοις καὶ ὑπέρμαχον.

Ἕτερα Στιχηρά. Ἦχος Δ'. Ὁ ἐξ ὑψίστου κληθείς. Χρυσάφη.

Ὁ τὴν σοφίαν ἐξ ὕψους δεδεγμένος, ἥπερ ἐπεστόμισε γαῦρον φιλόσοφον, ὁ τοῦ Χριστοῦ φίλος γνήσιος, ὁ θεοφόρος, ἀξιοχρέως ὑμνείσθω σήμερον· πύργος ὁ οὐράνιος θείας πραότητος, ὁ ἐπὶ γῆς ἄλλος ἄγγελος, ὁ ἱεράρχης, Σπυρίδων Κύπρου τὸ ἐγκαλλώπισμα, καὶ τῶν θαυμάτων ξένη θάλασσα, ὁ κανὼν ἐπισκόπων ὁ μέγιστος, ὃν ὁ Παῦλος ὁ μέγας θείοις λόγοις προεθέσπισε.

Ὡς τοῦ Θεοῦ (2) μιμητὴς καὶ ὑπηρέτης, τάγματα οὐράνια ἔσχες συμβάλλοντα, ταῖς πρὸς Χριστόν σου δεήσεσι, καὶ λόγῳ μόνῳ, ἐκ τοῦ θανά-

(1) Κερκυραίων, λέγε, εἰ θέλεις Σ. Π.
(2) Ἄλλ. γρ. Ὁ τοῦ Θεοῦ Σ. Π.



του ἐξήρπασας, ὄφιν δὲ μετέβαλες, χρυσοῦν ἐγκόσμιον, καὶ γῆν διψῶσαν ἐπότισας, σκληροῦ πλουσίου τὰς ἀποθήκας καταστρεψάμενος, καὶ τοὺς πεινῶντας ἄρτῳ ἔθρεψας, αἰσθητῷ νοητῷ τε θεσπέσιε, Ἱεράρχα Σπυρίδων, ὡς Μωϋσῆς τελῶν ἐξαίσια.

Ὁ τῶν Κυπρίων φωστὴρ καὶ ἑωσφόρος, ῥύστης ὁ ὀξύτατος τῶν προστρεχόντων σου τῇ ἱερᾷ, Πάτερ, λάρνακι, τῇ κατεχούσῃ τὸ ἱερόν σου καὶ θεῖον λείψανον· πόλιν βασιλεύουσαν φρούρει πρεσβείαις σου, τὴν σὲ τιμῶσαν ἐν πνεύματι, ὡς ἱεράρχην καὶ ἀποστόλων θεῖον συνήγορον, καὶ τῶν πενήτων εὐσυμπάθητον, προμηθέα καὶ πρόμαχον, ἵνα πίστει τιμῶμεν τὴν σεβάσμιόν σου κοίμησιν.

Δόξα· καὶ νῦν. Ὀκτώηχον.

Ἦχος α'. Θεαρχίῳ νεύματι πάντοθεν τὰ τῶν ἀνθρώπων συστήματα, ἀπὸ οἰκείων δωμάτων φερόμενα — πλ. α'. Καταλαβόντα τὴν πανέντιμον τοῦ λειψάνου σου θήκην ἀξίως ἀσπάζονται. — β'. Αἱ δὲ ὑπέρτατοι τῶν ἐπὶ γῆς ἀξίαι σὺν βασιλεῖ ἡγεμόνι παραγενόμεναι. — πλ. β'. Τὸ θεοφόρον καὶ ἀξιέπαινον σκῆνος ἐξάδουσι, τῷ δέει κρατούμεναι, ὑπὲρ ἐπαίνου δὲ ποιούμεναι· καὶ ὁρατῶς ἐκβοῶσι τὴν τῶν ᾀσμάτων σοι μελῳδίαν· ἰδοὺ ὁ θαυμάσιος Σπυρίδων νῦν προ-

τίθεται. — γ'. Ἄρωμεν τοίνυν τὸν ὕμνον καὶ κατὰ δύναμιν ὑμνήσωμεν τῶν ἀρχιερέων τὸ μέγα κλέος. — βαρύς. Διὰ τοῦτο γὰρ ἡ παγγενὴς Κωνσταντιανῶν σωτηρία γίνεται· ᾧ ἀτενίζειν οὐκ ἰσχύουσιν ἔθνη πάντα, ἄξιόν τε ἀπονέμειν ἐφύμνιον. — δ'. Τούτου γὰρ τὸ τῶν θαυμάτων ὑπερέχει πᾶσαν ἔννοιαν. — πλ. δ'. Διὸ πάνσοφε Ἱεράρχα, ἀεὶ σὺν τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ μετὰ πότμον πρέσβευε διηνεκῶς, περιφρουρῆσαι καὶ σῶσαι ἀπὸ πάσης προσβολῆς τὴν νεολαίαν σου· τὴν γὰρ ὑμῶν προστασίαν κεκτήμεθα. — α'. Εἰς τοὺς αἰῶνας ἀγλαοφανῶς μακαρίζοντες.

Εἰς τὸν Στίχον. Ἦχ. πλ. δ'. Ὢ τοῦ παραδόξου.

Πάτερ Σπυρίδων μακάριε, Θαυμάτων πέλαγος ὤν, καὶ πηγὴ ἀνεξάντλητος, νόσῳ κατεχόμενον καὶ θανάτῳ Κωνστάντιον, τὸν βασιλέα τούτων ἀπήλλαξας, καὶ νουθεσίαις αὐτὸν κατέπεισας, παρατηρεῖν ἀεί, Ἱερεῦσιν ἅπασιν, ὡς τῷ Θεῷ, πάντοτε λατρεύουσι, καλῶς προσφέρεσθαι. (1)

Πάτερ Σπυρίδων θαυμάσιε, ταῖς ἀρεταῖς γεγονώς, ὑψηλὸς καὶ περίβλεπτος, ἱεράρχης ἄκακος, ἐχρημάτισας ὅσιε, καλῶς ποιμάνας Χριστοῦ τὸ ποίμνιον, καὶ πάντα λύκον πόρρω ἀπήλασας

(1) Τοῦτο τὸ στιχηρὸν καὶ τὸ κατωτέρω εἰσὶ γνωστά.



καὶ καθοδήγησας πρὸς τὴν ἐπουράνιον μάνδραν πιστούς, τούτοις προηγούμενος, ποιμὴν ὡς ἄριστος.

Χαίροις ἱεράρχα πάνσοφε, ὀρθοδοξίας πηγή, ἡ ποτίζουσα πάντοτε, τοῖς γλυκέσι νάμασι τὴν ὑφήλιον ἅπασαν· χαίροις ἡ ῥίζα, ἐξ ἧς ἐβλάστησε, πυρσὸς ὁ τρέφων τὴν ἐκκλησίαν Χριστοῦ· χαίροις τὸ καύχημα, τῶν περάτων ἔνδοξε, χριστιανῶν, ἐπισκόπων μέγιστε, χαῖρε χαρὰ τῶν πιστῶν.

Δόξα· ἦχ. α'. (1)

Ὅσιε πάτερ μακάριε, Σπυρίδων σοφέ, τὴν νεκρὰν ὥσπερ ζῶσαν ἐπηρώτας δι' ἀγάπην Θεοῦ· ὄφιν δὲ μετέβαλες εἰς χρυσόν, ὁ πενίαν ἀσκῶν· ῥύσιν δὲ ἐπέσχες ποταμοῦ, συμπαθήσας λαῷ· βασιλεῖ δὲ παρέστης ἰατὴρ τῇ προνοίᾳ Θεοῦ· νεκροὺς δὲ πάλιν ἤγειρας ὡς αὐτοῦ μαθητής, τὴν πίστιν δὲ ἐτράνωσας, ἀναμέσον πατέρων πολλῶν· πάντα οὖν ἰσχύων ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, αὐτὸν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Προεόρτιον. Προεορτάσωμεν λαοί.

Ἀπολυτίκιον. Τῆς Συνόδου τῆς πρώτης (ὅρα ἐν τῷ Μ. Ἑσπερινῷ).

(1) Καὶ τοῦτο γνωστόν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Ἐν τῇ Ἀγρυπνίᾳ· ἐν τῷ Μ. Ἑσπερινῷ. Ἱστῶμεν στίχ. ι' καὶ ψάλλομεν στιχηρὰ ἦχ. β'. Ποίοις εὐφημιῶν. Ἰωάσαφ.

Ποίοις εὐφημιῶν στέμμασι καταστέψωμεν τὸν Ἱεράρχην, τὸν παρὰ Θεοῦ κομισάμενον, βρύσιν τῶν θαυμάτων ἀένναον, τὸν ἁπλοῦν, τὸν ὅσιον, τὸν πρᾶον, τὸν πάντων ἁματωλῶν αὐτὸν χωρίσαντα, καὶ ὕψους τοῦ οὐρανίου ὑψηλότερον γενόμενον καὶ τῷ θρόνῳ τῆς δόξης τοῦ Θεοῦ, παριστάμενον, καὶ τρανῶς ὡς ἥλιον λάμποντα, καὶ πάντας καταφωτίζοντα.

Ποίοις μελῳδικοῖς ᾄσμασιν ἐπαινέσωμεν τὸν Ἱεράρχην, τὸν ἐν τοῖς ἀδύτης γενόμενον καὶ Θεῷ προσφέροντα αἴνεσιν, καὶ λειτουργοὺς ἀγγέλους σχόντα θείους· τοῦ ὄμβρου τὴν ἀμετρίαν καταστείλαντα, καὶ πάλιν αὐχμὸν εὐχῇ ῥαδίως λύσαντα, καὶ ὄφιν μεταβαλόντα εἰς χρυσὸν οὕτω, διακόνου τε τὴν ὀφρὺν καλῶς ἀπελέγξαντα, Σπυρίδωνα τὸν πανθαύμαστον.

Ποίοις οἱ γηγενεῖς χείλεσιν, ἀνυμνήσωμεν τὸν Ἱεράρχην, τὸν τῆς οἰκουμένης ὑπέρμαχον καὶ τῆς εὐσεβείας τὸ θεμέλιον, τὸν φωστῆρα τῶν ἀρχιερέων, τὸν στύλον τῆς Ἐκκλησίας τὸν ἀκράδατον, τὸν πλοῦτον τὸν μὴ κενούμενον τῆς χάριτος, τὸν



θησαυρὸν τῶν πενήτων καὶ χηρῶν προστάτην, λυπουμένων τὴν χαρμονήν· αὐτὸν γὰρ ἐδόξασεν ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ᾀσματικοῖς ἔπεσιν ἀναδήσωμεν τὸν ἀρχιθύτην, καὶ θαυματοφόρον Σπυρίδωνα, τοῦ Χριστοῦ τὸν φίλον τὸν γνήσιον, τὸν μύστην Θεοῦ τῶν μυστυρίων, τὸν οἶκον τοῦ παναγίου ὄντως Πνεύματος, τὸν πύργον τῆς ταπεινώσεως τὸν ἄρρηκτον, τὸν ποταμὸν τῶν θαυμάτων, τὸν κρατῆρα πλήρη δωρεῶν τῶν θείων Χριστοῦ, τοῦ πᾶσι παρέχοντος σωτηρίαν καὶ μέγα ἔλεος.

Ποίοις οἱ γηγενεῖς ᾄσμασιν ἀνυμνήσωμεν τὸν θεηγόρον, καὶ σημειοφόρον Σπυρίδωνα, τοῦ Χριστοῦ τὸ στόμα τὸ ἅγιον, τὸν φαιδρὸν Κυρίου θυηπόλον· ἀγάλλου τῆς Κύπρου (1) ἡ μητρόπολις, εὐφράνου ἡ Τρυμυθοῦς πᾶσα περίχωρος (2), μεγαλαυχοῦσα τῇ δόξῃ τῶν πολλῶν θαυμάτων, ἀεὶ τοῦ θερμοῦ προστάτου ἡμῶν, δι' οὗ πάσης νόσου ἀπολυτρούμεθα.

Ἕτερα στιχ. Προσόμοια, ποιηθέντα παρὰ τοῦ Μεγ. Σακελλαρίου τοῦ Μελιτινιώτου· ἦχ. πλ. β'. Ἡ ἀπεγνωσμένη.

Δεῦτε συνελθόντες πάντες προθύμως, ᾄσμασιν ἐνθέοις καὶ ἐγκοσμίοις, τὸν μέγαν Σπυρίδωνα

(1) Κερκύρας, λέγε, εἰ θέλεις.
(2) Γραπτέον ἴσως, «τῆς Τριμυθοῦντος ἡ περίχωρος».

τιμήσωμεν ἀξίως. Οὗτος καὶ γὰρ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ συγκαλεῖται ἅπαν τὸ πρόσωπον, ὡς θέμις, ἑορτάσαι τὴν μνήμην· ὁ παρήγορος τῶν θλιβομένων, τῶν ἐν ἀνάγκαις βοηθὸς ἀπροσμάχητος, τῆς οἰκουμένης τὸ καύχημα.

Στύλος ἀνεδείχθης τῆς Ἐκκλησίας, πρόβολος Σπυρίδων τῆς εὐσεβείας, τῆς πίστεως πρόμαχος, ὑπέρμαχος Τριάδος· βάσις δογμάτων τῶν ἐνθέων καὶ ἑδραίωμα πάτερ, κλέος πατέρων καὶ καὶ θαυμάτων ἀνεξάντλητος βρύσις, καὶ κραταίωμα πιστῶν ἁπάντων, ὀρθοδοξίας ἀρραγὴς τε θεμέλιος καὶ ἱερέων ἀγλάϊσμα.

Ἔστησας ποτάμιον ροῦν προστάξει, αὔλακας ἐμέθυσας τὰς αὐχμώσας, τὸν ὄφιν μετέβαλες εἰς χρυσοῦν Ἱεράρχα, πίστιν ἐτράνωσας ἐν μέσῳ τῆς συνόδου Σπυρίδων, βλάσφημον δὲ Ἀρείου ἐξωστράκισας δόγμα, καὶ διέβλεψας εἰς ἀθεάτους πόρνης καρδίας μώλωπας, καὶ ἐδωρήσω τὴν ἄφεσιν.

Ἔστης πρὸ τοῦ τάφου Χριστὸς ὡς πάλαι, ὡς ζῶσαν ἐφώνεις τὴν τεθνηκυῖαν, νεκρούς τε ἀνέστησας προσευχῇ σου Σπυρίδων, νόσον ἴασω βασιλέως τῇ σῇ ἐπιφανείᾳ, ἔσχες ἀγγέλους λειτουργοῦντας σὺν σοὶ Θεῷ τῶν ὅλων, καὶ διήλεγξας πλεονεξίαν, δι' ὑετοῦ μάκαρ τὰ ἐν τῷ νῷ τε ἔβλεψας, τοῦ φοιτητοῦ σου μακάριε (1).

(1) Ἄλλη γρ. θεσπέσιε.



Δόξα. ἦχ. πλ. β'. Ποίημα Ἐμμανουὴλ τοῦ Χρυσάφη.

Λαμπρὰ καὶ χαρμόσυνος ἐξέλαμψε σήμερον ἡ μνήμη σου, Σπυρίδων σοφέ, συγκαλοῦσα ἅπαντα τὰ τῶν φιλεόρτων συστήματα πρὸς ὑμνῳδίαν καὶ αἶνον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὅθεν καὶ προστρέχοντες τῇ σορῷ τῶν ἁγίων λειψάνων σου, χαριστήριον ὕμνον προσάδοντες καὶ ἐγκωμίων αἴνους, συμφώνως βοῶμεν σοι· Χαίροις τῶν θαυμάτων ὁ ποταμὸς ὁ πληρέστατος καὶ ναμάτων τοῦ Πνεύματος· Χαίροις τῶν ἀρχιερέων τὸ μέγα κειμήλιον καὶ τῶν ὀρθοδόξων τὸ ἀκατάσειστον ἔρεισμα· χαίροις πολύφωτε ἥλιε, ὁ τὸν κόσμον ἅπαντα καταλάμπων τοῖς ἀκτῖσι τῶν ἀπείρων θαυμάτων σου. Ὡς ἔχων παρρησίαν ἱεραρχῶν ἐγκαλλώπισμα, πρέσβευε Χριστῷ τῷ Θεῷ τοῦ λυτρωθῆναι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Σπήλαιον Εὐπρεπίζου.

Εἴσοδος. Φῶς Ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Ζήτει αὐτὰ τῇ ς'. Δεκεμβρίου.

Εἰς τὴν Λιτὴν Ἰδιόμελα συντεθέντα παρὰ Ἐμμανουὴλ τοῦ Χρυσάφη. Ἦχ. (1).

Πνευματικὴ πανήγηρις σήμερον ἀδελφοί· σκιρτάτω ἡ φύσις· χορευέτω ἡ ἀνθρωπότης·

(1) Ἐκ τῶν κατωτέρω τῆς Λιτῆς Τροπαρίων τὰ μὲν δύο πρῶτα οὐδόλως παραλάσσουσι τῶν ἤδη δεδημοσιευμένων, τὰ δὲ ἕτερα δύο καὶ τὸ Δοξαστικὸν οὐ μόνον παραλάσσουσι ἀλλὰ καὶ εἰσὶν ἐκτενέστερα τῶν ἀντιστοίχων γνωστῶν.

ΑΝΝΑΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ...

συνεκάλεσε γὰρ ἡμᾶς ὁ θαυμάσιος Σπυρίδων, τὸ θειότατον κειμήλιον τῶν ἀρχιερέων, ὁ ποταμὸς θαυμάτων ὁ πλημμυρέστατος· τὸ κατοικητήριον τοῦ ἁγίου Πνεύματος· ἡ ἀκένωτος τῶν ἰαμάτων καὶ ξένη θάλασσα· ὁ στερρότατος τῆς Ἐκκλησίας καὶ ἀκράδαντος πύργος· ἡ ὄντως κρηπὶς ὁσίων καὶ φωστὴρ οἰκουμένης ὁ πολύφωτος· αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὢ θαύματος φρικτοῦ! ἡ νεκρὰ πυθομένη φωνὴν ζῶσάν σοι δέδωκεν· ὁ ροῦς δὲ τοῦ ποταμοῦ ἀνεστάλη διὰ λόγου σου προστακτικοῦ· ἡ τοῦ ἄνακτος νόσος εὐχῇ σου φυγαδεύεται· ὁ ὄφις εἰς εἶδος χρυσοῦν ἀντιμετηλλάττετο· νεκροὶ ἐξηγέρθησαν· ἐνεργεῖ γὰρ ἐν σοὶ ὁ τῶν ἁπάντων Ἱεράρχης Χριστὸς ὁ Θεὸς ἡμῶν, Σπυρίδων Ἱεράρχα σοφὲ, ὁ τῆς Τριάδος τὸ δόγμα ἀνακηρύξας τρανῶς.

Τίς μὴ θαυμάσῃ τῶν σῶν θαυμάτων ἱεράρχα Σπυρίδων τὸ ἀκένωτον πέλαγος; Ὄμβρον γὰρ ἐξ οὐρανοῦ προσευχῇ σου κατήγαγες καὶ τὰς αὐχμώσας αὔλακας ἐμέθυσας, καὶ λιμὸν διέλυσας. Ὢ τοῦ θαύματος! νεκρὰν ἐπηρώτησας, καὶ αὖθις ὥσπερ ζῶσα, ὡς ἐξ ὕπνου σοι λελάληκε. Νεκροὺς δὲ πάλιν ἐξανέστησας ζωοποιῷ προσφθέγματι. Ὄφιν εἰς χρυσὸν μετέβαλες καὶ ποταμοὺς



ἀνεχαίτισας· νοσήματι ἀνιάτῳ(1) τοῦ βασιλέως Κωνσταντίου ἰάτρευσας, καὶ μαθητοῦ Τριφυλλίου τὰ ἐν νῷ τε ἔγνωκας, τά τε τοῦ κόσμου τερπνὰ ἀναλύσασθαι ἐδίδαξας. Φιλόσοφον ἤσχυνας καὶ τὴν ἱερὰν καὶ ἁγίαν Σύνοδον ἐκράτυνας. Πόρνην προσψαῦσαι τολμήσασαν, τὰ κατ' αὐτὴν ἐξειπὼν, ἐξαγορεῦσαι ἔπεισας. Αἰγὸς ἅρπαγα πλήττοντα διήλεγξας καὶ τὴν ἀφωνίαν διακόνου ἐθεράπευσας. Ἀγγέλους θείους συλλειτουργοῦντάς σοι ἔσχες. Τὴν τοῦ ἐλαίου ἀνάβλυσιν ἐποίησας· μοιχευθῆσαν δὲ γυναῖκα μὴ πεισθεῖσαν τῷ θανάτῳ παρέδωκας, καὶ δυσσεβῶν ἀγάλματα πεπτωκότα συνέτριψας. Ὄντως οὕτως οἶδε δοξάζειν Θεὸς τοὺς αὐτοῦ δοξάζοντας. Ἡμεῖς δὲ περικυκλοῦντες τὴν σορὸν τῶν λειψάνων σου, περιπτυσσόμεθα ταύτην ἀναξίοις χείλεσιν, ὅπως λάβωμεν ἴασιν ψυχῶν τε καὶ σωμάτων καὶ ἐν ἡμέρᾳ κρίσεως λυτρωθῶμεν τῆς κολάσεως.

Ἀρετῶν εἰς μέγιστον καὶ αἰθέριον ὕψος ἀναβὰς θεοφόρε, τὴν σύμπασαν φωτίζεις ταῖς τῶν θαυμάτων ἀστραπαῖς ὡς συμπαθέστατος ποιμὴν, λαμπρύνων, πάτερ μακάριε· ἀπαθείας λάμπων χαρίσμασι καὶ ἁπλότητος αἴγλῃ, Σπυρίδων ἱερέ. Διὸ πνευματικῶς συνελθόντες τὴν τῶν λειψάνων σου σεβασμίαν καὶ ἁγίαν Λάρνακα ὑμνῳδίαις μετὰ δόξης προπέμπομεν δορυφοροῦντες εἰς τὸ

(1) Γραπτ. ἴσως «νόσημα ἀνίατον».

ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

θεῖον τῶν Ἀποστόλων τέμενος, μετὰ χαρᾶς προσφωνοῦντες ταῦτά σοι. Χαῖρε στύλε οὐράνιε, τῶν θλιβομένων πάντων παραμυθία· χαῖρε ὁ οἶκος τῶν ἀρετῶν ὁ μέγιστος· χαῖρε πύργε ἀδιάσειστε δογμάτων τῆς πίστεως, ἐν σοὶ γὰρ ἅπαν χάρισμα τοῦ Πνεύματος πεφανέρωται τοῖς ἐπὶ γῆς, Ἱεράρχα, πιστῶν ὁ προστάτης καὶ τῶν ἐν νόσοις ἑτοιμοτάτη λύτρωσις· χαῖρε ὁ τῆς ἐπουρανίου Ἱεραρχίας κανών.

Δόξα. ἦχ. πλ. α'. κατὰ τὸ Σαλπίσωμεν. Ἐμμ. Χρυσάφη.

Χορεύσωμεν φιλέορτοι ἐν ὕμνοις· σκιρτήσωμεν ἐν ᾄσμασι καὶ σαλπίσωμεν εὐφαινόμενοι ἐν τῇ ἐνδόξῳ πανηγύρει Σπυρίδωνος τοῦ σοφοῦ. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν καὶ τὸν Ἱεράρχην κροτείτωσαν ἐν λόγοις.. Βασιλέα ἔσωσε, νοσήματι κρατηθέντα διαλυτρωθῆναι τῇ προσψαύσει παρεσκεύασε. Ποιμένες καὶ διδάσκαλοι τὸν τοῦ καλοῦ ποιμένος σοφὸν ἱερομύστην συνδραμόντες εὐφημήσωμεν· οἱ ἐν νόσοις ἀπαλλαγήν· οἱ ἐν ἀνάγκαις τὸν ῥύστην· οἱ ἁμαρτωλοὶ τὸν προστάτην· οἱ πένητες τὸν πλουτιστήν· οἱ κωφεύοντες τὴν εὐηκοΐαν· τὸν συνοδίτην οἱ ὁδοιπόροι· οἱ ἐν τῷ γήρᾳ τὴν βακτηρίαν· οἱ πάντες τὸν πανταχοῦ θερμῶς προφθάνοντα, Κύπρου τὸ μέγα κλέος ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Πανάγιε Σπυρίδων, ἱκέτευε, ἐξελοῦ ἡμᾶς ἀπὸ παντοίας ἀνάγκης καὶ σῶσον τοὺς δούλους σου ταῖς ἱκεσίαις σου.



Καὶ νῦν. Προεόρτιον. Μὴ στέναζε Ἰωσήφ.
Εἰς τὸν Στίχον ἀπόστιχα. Ἦχ. πλ. α'. Χαίροις ἀσκητικῶν (1).

Χαίροις ἀρχιερέων κανών, τῆς Ἐκκλησίας ἀδιάσειστον ἔρεισμα, τὸ κλέος τῶν ὀρθοδόξων, ἡ τῶν θαυμάτων πηγή, ἰαμάτων ῥεῖθρον μὴ κενούμενον, φωστὴρ ὁ πολύφωτος, τὸ τοῦ Πνεύματος ὄργανον, ὁ νοῦς ὁ θεῖος, ὁ πραῢς καὶ ἀκέραιος, ὁ ἁπλότητι ἀληθεῖ καλλυνόμενος. Ἄνθρωπε ἐπουράνιε, ἐπίγειε ἄγγελε, τοῦ ἀμπελῶνος ἐργάτα, ὁ τοῦ Χριστοῦ φίλος γνήσιος· αὐτὸν ἐκδυσώπει, παρασχεῖν τοῖς σὲ τιμῶσι τὸ μέγα ἔλεος.

*Στίχ*. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην.

Πρᾶος καὶ κληρονόμος τῆς γῆς, σὺ τῶν πραέων ἀληθῶς ἀναδέδειξαι, Σπυρίδων, πατέρων δόξα, ὁ ταῖς νευραῖς τῶν σοφῶν καὶ ἁπλῶν σου λόγων, θείᾳ χάριτι, ἐχθρὸν τὸν παμπόνηρον καὶ παράφρονα Ἄρειον κατεπάτησας, καὶ τὸ δόγμα τὸ ἔνθεον καὶ σωτήριον ἀνυψώσας τῷ πνεύματι· πάντας τοὺς ὀρθοδόξους τε φωτίσας λαμπρότητι, ἕνα δοξάζειν τὸν Λόγον, ὡς ἀληθῶς ὁμοούσιον, Πατρὶ προανάρχῳ παρεχόμενον τῷ κόσμῳ τὸ μέγα ἔλεος.

*Στίχ*. Στόμα δικαίου ἀποστάζει σοφίαν.

Πάθη ἀπονεκρώσας σαρκός, νεκροὺς ἐν χάριτι

---

. κατωτέρω τρία ἀπόστιχα εἰσὶ γνωστά.

Θεοῦ ἐξανέστησας, καὶ ὄφιν χρυσοῦν εἰργάσω, καὶ ποταμοῦ τὰς ὁρμὰς προσευχῇ σου Πάτερ ἐχαλίνωσας· νυκτὸς Βασιλεῖ τε ἐπιφανεὶς κινδυνεύοντι, τοῦτον ἰάσω, τῇ καθ' ὕπαρ ἐγγύτητι, τοῦ Κυρίου σε παραδόξως δοξάζοντος. Ὅθεν μεγαλοφώνως σου, τὴν μνήμην γεραίρομεν, καὶ τῶν λειψάνων, Σπυρίδων, τὴν ἱερὰν σωρὸν σέβομεν, ἐξ ἧς ἀναβλύζει ἰαμάτων θεῖα ρεῖθρα καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Τίς λαλήσει τὰς ἀριστείας σου σοφέ, καὶ τίς ἐξαριθμήσει τῶν θαυμάτων σου τὰ πλήθη; Ὡς ἄγγελος ἐδείχθης ἐπὶ γῆς, πάτερ μακάριε. Βαβαὶ τῶν θαυμασίων, ὧν τοῖς πᾶσιν ἐπιχέεις! Οὐ μόνον γὰρ νοσήματα χαλεπὰ ἰάτρευσας τῶν προσιόντων σοι ἐκ πόθου, ἀλλὰ καὶ τὰ πάθη τῶν ψυχῶν. Ὅθεν Θεός σε ὁ παντάναξ ἐδόξασε, Σπυρίδων παμμακάριστε, ἱεραρχῶν ἡ κρηπίς.

Καὶ νῦν. Ὑπόδεξαι Βηθλεὲμ (ὅρα Μηναῖον).
Ἀπολυτίκιον· ἦχ. α'. (1)

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης ὑπέρμαχος καὶ θαυματουργῷ λόγῳ μόνῳ ποταμὸν ἀνεχαίτισας· Σπυρίδων μακάριε σοφέ· ὅθεν νεκρά σοι ἐκ τάφου προσφωνεῖ καὶ ὄφις χρυσοῦται τῇ σῇ προσευχῇ· καὶ ἀγγέλους, ὅτε ἐβούλου, συλ-

(1) Τὸ Ἀπολυτίκιον τοῦτο παραλλάσει πως τοῦ γνωστοῦ.



λειτουργοῦντας ἔσχες ἱερώτατε. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ τοιαῦτα τέρατα.

Εἶτα γίνεται Καλλιφωνία στιχ. Ἰωάννου τοῦ Γλυκέως. Ἦχος β'. (1)

Ἱεραρχῶν τὸ θεῖον κειμήλιον, πάτερ ὅσιε Σπυρίδων σοφέ, σὺ ἐν ἀρεταῖς ἐχρημάτισας ὅσιε. Ὅθεν τῆς ἐκκλησίας προΐστωρ γενόμενος, αἱρεσιάρχας ἐξώθησας καὶ τοῦ Ἀρείου τὸ βλάσφημον συνοδικῶς εἰς γῆν κατηδάφισας. Διὸ θαυματουργῶν ἐν ἔργῳ καὶ λόγῳ τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Ἐμμανουὴλ τοῦ Χρυσάφη. Ἦχος α'.

Ὅσιε πάτερ μακάριε Σπυρίδων σοφέ, τὴν νεκρὰν ὥσπερ ζῶσαν ἐπηρώτας δι' ἀγάπην Θεοῦ· ὄφιν δὲ μετέβαλες εἰς χρυσὸν ὁ πενίαν ἀσκῶν· ρύσιν δὲ ἐπέσχες ποταμοῦ ἕνεκα τοῦ συμπαθοῦς σου λαοῦ· βασιλεῖ δὲ παρέστης ἰατὴρ τῇ προνοίᾳ τοῦ Θεοῦ. Νεκροὺς δὲ πάλιν ἤγειρας ὡς αὐτοῦ μαθητής. Τὴν πίστιν δ' ἐτράνωσας ἀναμέσον πατέρων πολλῶν, πάντα ἰσχύων ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· αὐτὸν καὶ νῦν ἱκέτευε, μακάριε Σπυρίδων σοφέ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον τοῦ αὐτοῦ. Ὁ αὐτός.

Ὅσιε πάτερ ἱεράρχα ἀοίδιμε, ἀποστολικῆς

(1) Ταῦτα εἰσὶ γνωστά.

ΚΟΡΓΙΑΛΕΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑ

διδασκαλίας γενόμενος ἔμπλεως καὶ τοῦ θείου Πνεύματος καταγώγιον δι' ἐναρέτου πολιτείας ἐδείχθης φωστὴρ παγκόσμιος. Ὅθεν καὶ θαυματουργῶν ἐν τοῖς πέρασιν ὄφιν εἰς χρυσὸν μετέβαλες, καὶ νεκρὸν πρὸς ἐρώτησιν ἤγειρας, καὶ τὴν ὀρθόδοξον πίστιν ἐτράνωσας, Σπυρίδων Ἱεράρχα ἀοίδιμε, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. στιχολογίαν, Καθίσματα. Ἐμμανουὴλ Χρυσάφη. Ἦχος πλ. α'. Τὸν Συνάναρχον Λόγον.

Τὸν Σπυρίδωνα πάντες ἀνευφημήσωμεν, τὸν τοῦ Πνεύματος ὄργανον χρηματίσαντα· τῶν θαυμάτων τὴν πηγὴν τὴν ἀνεξάντλητον, τὸν νοῦν τὸν θεῖον ἀληθῶς, τὸν ἁπλοῦν τε καὶ πρᾶον καὶ βοηθὸν ἐν ἀνάγκαις· τὸν πρεσβεύοντα τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β' Στιχολ. Ἕτερον. Ἦχ. πλ. δ'. Τὴν Σοφίαν.

Τῆς Τριμύθου (1) ὁ μέγας θαυματουργός, ἀναβὰς ἐν τῷ ὕψει τῶν ἀρετῶν, ἀπαστράπτεις τοῖς πέρασιν, ὦ Σπυρίδων μακάριε· τοὺς ζοφώδεις λύκους σκορπίζων σφοδρότατα, καὶ ἐλαύνων νόσους χρησταῖς ἐπικλήσεσιν. Ὅθεν καὶ τὴν πλά-

(1) Ἄλ. γρ. Τριμυθοῦντος.



νην τοῦ Ἀρείου καθεῖλες, τὸ ψεῦδος ἀπήλασας, τὴν ἁγίαν Τριάδα τρανῶς ἐφανέρωσας, Ἱεράρχα μακάριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Μετὰ τὸν Πολυέλαιον. Ἕτερον· ὁ αὐτός. Ἐμ. Χρυσάφη.

Ἐκ τῆς ποίμνης ἐδείχθης ἱερουργός, τὴν σφενδόνην κατέχων τὴν μυστικήν, καθεῖλες τὸν τύραννον ταῖς βολίσι τοῦ πνεύματος· καὶ ἀγράφως κηρύξας Τριάδα ὁμότιμον, τῆς Συνόδου ἐγένου συνήγορος ὅσιε. Ὅθεν ἀνατείλας ἐκ τῆς Κύπρου Σπυρίδων, ὡς ἄστρον ὑπέρφωτον, τὰς αἱρέσεις ἠμαύρωσας· Ἱεράρχα θαυμάσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα καὶ νῦν. Τὴν Σοφίαν καὶ Λόγον.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφ. τοῦ δ' ἤχου.—Προκείμ. Τίμιος ἐναντίον. Στίχ. Τί ἀνταποδώσωμεν. Πᾶσα Πνοή.—Εὐαγγέλιον κατὰ Ματθαῖον «Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί».—Ὁ Ν'. Δόξα, Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με κλπ. Ἱεραρχῶν τὸ θεῖον.

Κανὼν τοῦ Ἁγίου. Ὠδὴ α'. Μ. Σακελαρίου τοῦ Μελητινιώτου. (1) Ἦχος α'. κατὰ τὸ Χριστὸς γεννᾶται.

Χριστὸς ποιμένα σε, ὅσιε, γαστρὸς ἐκ μητρικῆς ἐξελέξατο, πρᾶον ἱερὸν καὶ σώφρονα, κήρυκά τε δογμάτων καὶ λειτουργόν,

(1) Τῶν Ὠδῶν τοῦ Κανόνος τὰ τροπάρια εἰσὶ γνωστά.

Πάτερ, Ἐκκλησίας, καὶ δοχεῖον χαρισμάτων τῶν τοῦ Πνεύματος.

Σαρκὸς νεκρώσας τὸ φρόνημα, ψυχῆς δὲ προκαθάρας τὰ ὄμματα, ὅλον σεαυτὸν τοῦ Πνεύματος, ὅσιε, ἀπειργάσω θεῖον ναόν, λογικαῖς θυσίαις, καθαρῶς ἱερατεύων παμμακάριστε.

Διψῶσαν Κύπρου τὴν γῆν κατιδών, τὸν Θεσβίτην Ἠλίαν μιμούμενος, σοῦ τῇ προσευχῇ κατήγαγες, ὅσιε, οὐρανόθεν ὄμβρων πληθύν· καὶ γὰρ εἰσακούει τῆς δεήσεως Χριστὸς τῶν θεραπόντων αὐτοῦ.

Χρυσῆν σε στάμνον καὶ τράπεζαν, λυχνίαν φωτεινὴν καὶ κατάσκιον, ὄρος καὶ πηγὴν θεόβρυτον, κλίμακά τε καὶ πύλην θείας ζωῆς, κεχαριτωμένη, Θεοτόκε, ὑπερένδοξε κηρύττομεν.

Καταβασία «Χριστὸς γεννᾶται».

Ὠδὴ γ'. Τῆς πίστεως ἐν πέτρα με. Θεοφάνους Νικαίας.

Τὸν νοῦν σου ἀπαθείᾳ καταλαμπρύνας, καὶ θείᾳ ταπεινώσει καθωραΐσας, χαρίσματα τοῦ Πνεύματος ὑπεδέξω, διώκειν πνεύματα, λύειν νοσήματα, τῶν πιστῶς τιμώντων σε ἱερώτατε.

Τὸν ὄφιν τὸν ἀρχαίκακον ἀποκτείνας, τὸν τρόπον τὸν φιλάργυρον συμπατήσας, οἰκτείρων τὸν δεόμενον Ἱεράρχα, ὄφιν μετέβαλες χρυσοῦν εἰς κόσμιον, ἱεραῖς ἐντεύξεσι, Πάτερ ὅσιε.

Ἀνῆλθες πρὸς τὸ ὄρος τῆς ἀπαθείας, εἰσέδυς εἰς τὸν γνόφον τῆς θεωρίας· πλαξὶ δὲ τῆς καρδίας σου ὑπεδέξω, νόμον σωτήριον, ὡς ἱερώτατος, καὶ θεράπων γνήσιος τοῦ δεσπότου σου.

Θεράπευσον τὰ τραύματα τῆς ψυχῆς μου, τὸν νοῦν μου σκοτιζόμενον ἀμελείᾳ, Θεόνυμφε, καταύγασον, ἵνα ψάλλω· οὐκ ἔστιν ἄμεμπτος ὡς σὺ πανάμωμε, καὶ οὐκ ἔστιν ἄχραντος πλὴν σου δέσποινα.

Καταβασία. «Τῷ πρὸ τῶν αἰώνων».



Κάθισμα Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐκ ποιμνίων προβάτων ἐπιστατεῖν, τῆς Χριστοῦ Ἐκκλησίας προχειρισθείς, ποιμὴν θεοπρόβλητος, ὦ Σπυρίδων ἀνέλαμψας· κακοδοξίας λύκους ἐλάσας τοῖς λόγοις σου, ἐν εὐσεβείας πόᾳ πιστοὺς ἐκτρεφόμενος. Ὅθεν ἀναμέσον θεοφόρων πατέρων, τὴν πίστιν ἐκράτυνας, τῇ σοφίᾳ τοῦ πνεύματος, ἱεράρχα μακάριε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.(1)

Ὠδὴ δ'. Μ. Σακελ. κατὰ τὸ Ῥάβδος ἐκ τῆς ῥίζης

Ῥάβδον σὲ κατέχοντα χειρὶ καὶ σχῆμα ἱερώτατον, ἐστολισμένος θεῖος ἄγγελος κατ' ὄναρ ἐπιφανείς, βασιλεῖ δεικνύει σε ἰατρὸν αὐτοῦ θεῖον τοῦ πάθους· ὁ δὲ ἐβόα πιστῶς· δόξα τῇ δυνάμει σου Κύριε.

Δεσπότην μιμούμενος τὸν σόν, καὶ πάντων ἰατρὸν Χριστόν, τὸν βασιλέα ἐθεράπευσας, Σπυρίδων τερατουργέ· θεϊκοῖς τε δόγμασι, τοῦτον εὐσεβῶς εἰς θεῖον ζῆλον καὶ πίστιν θεοπρεπῆ, μάκαρ εὐθυβόλως διήγειρας.

Ῥήσεις ἐντολῶν τῶν θεϊκῶν φυλάττων παμμακάριστε, τοῦ βασιλέως διεσκόρπισας μεγάλας σὺ δωρεάς, καὶ τοῖς πᾶσι δέδωκας χρυσὸν ἐπὶ γῆς Σπυρίδων μάκαρ· ἐκτήσω γὰρ οὐδαμῶς, ὄλβον θησαυρίζων τὸν ἄσυλον.

Σὺ σκηνὴ τοῦ Λόγου καὶ λαμπάς, παρθένε, ἀληθῶς φωτός, τοῦ ἀνεσπέρου ἀναδέδειξαι· διό σε πάντες πιστοὶ θερμῶς ἱκετεύο-

(1). Τὸ Κάθισμα τοῦτο παραλλάσει τοῦ γνωστοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΓΡΗΓΟΡΗΣ ΠΑΠΑΣΤΑΘΟΠΟΥΛΟΣ

μεν, ῥῆξαι τοῦ ἐχθροῦ σὺ τὰς ἐνέδρας, ἃς καθ' ἡμῶν μελετᾷ, Κόρη τὸν Υἱόν σου δυσώπησον.

Καταβασία. «Ῥάβδος ἐκ τῆς ῥίζης».

Ὠδὴ ε'. τοῦ αὐτοῦ. Θεὸς ὢν εἰρήνης.

Τὴν πίστιν ἐν μέσῳ πατέρων πολλῶν, ἱεράρχα Σπυρίδων ἐστήριξας, κηρύξας τὸ ὁμόθεον Τριάδος τῆς μιᾶς· διὸ καὶ ἐπαξίως, τιμᾷ ἡ Ἐκκλησία, τὴν πανίερον μνήμην τῆς παναγίας σου κοιμήσεως.

Χριστοῦ ὢν καθάπαξ πιστὸς μαθητής, ἱεράρχα Σπυρίδων ἀνέστησας νεκροὺς τῇ προσευχῇ σου καὶ παρέστησας ζῶντας· καὶ γὰρ ἰσχύειν πάντα αὐτὸς δεδώρηταί σοι, ἐξ ἰδίας ἰσχύος, ὁ ταμιοῦχος τῆς ζωῆς ἡμῶν.

Ἐλπίδος ἀγάπης, καὶ πίστεως, σύ, ἰδιώματα πάτερ κτησάμενος, πενήτων ἀντιλήπτωρ τε νοσούντων ἰατρός, καὶ πάντων τῶν ἐν ζάλῃ λιμὴν γαληνοφόρος, ἀνεδείχθης θεόφρων, ἀξιοθαύμαστε, πιστότατος.

Ἁγίων ἁγία παρθένε ἁγνή, τῶν ἁγίων τὸν Ἅγιον τέτοκας, τὸν πάντας ἁγιάζοντα Χριστὸν τὸν λυτρωτήν· διό σε βασιλίδα καὶ δέσποιναν ἁπάντων, ὡς μητέρα τοῦ κτίστου τῶν ποιημάτων καταγγέλομεν.

Καταβασία. «Θεὸς ὢν εἰρήνης».

Ὠδὴ ς'. τοῦ αὐτοῦ. Σπλάγχνων Ἰωνᾶν.

Ἄλλον Σαμουήλ, ἡ χάρις σε ἔχρισε, Σπυρίδων σοφέ, ἱερατεύειν Θεῷ, καὶ προσήγαγες ἀναιμάκτους θυσίας πανόλβιε· πιστεύων ἀληθῶς ὅτι ἐδείχθη σοι, ἄνω ἐν σκηναῖς Θεοῦ ἡμῶν, ἡ φρικτὴ λειτουργία καὶ ἄμωμος.

Ῥάβδον Μωϋσῆς, εἰς ὄφιν μετέβαλε, προστάξει Θεοῦ, πάλαι



κινούμενος· σὺ δὲ ὅσιε, εἰς χρυσὸν προσευχῇ σου μετέβαλες, τὸν ὄφιν ἱεράρχα διὰ φίλον τὸν σόν· οὕτω θαυμαστὰ εἰργάσατο, διὰ σοῦ ὁ Θεός, πάτερ, τέρατα.

Ὡς ἱεραρχῶν κανὼν καὶ ἑδραίωμα, φωστὴρ οἰκουμένης διαυγέστατε· πύργε ἄσειστε, ἐκκλησίας θεμέλιε ἄρρηκτε· τῶν θαυμάτων ποταμὸς ὁ ἀνεξάντλητος, ῥῦσαι σαῖς πρεσβείαις πάντοτε, πειρασμῶν τοὺς τιμῶντας τὴν μνήμην σου.

Κόλπων οὐκ ἐκστάς, ἀνάρχου γεννήτορος, ἐν κόλποις ἁγνῆς κόρης αὐλίζεται, καὶ καθίσταται ὁ ἀμήτωρ ἀπάτωρ σαρκούμενος, ὁ τῆς δικαιοσύνης βασιλεύων Χριστός· τούτου ἀγενεαλόγητος, ἡ φρικτὴ γενεὰ καὶ ἀπόρρητος.

Καταβασία. «Σπλάγχνων Ἰωνᾶν».

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

**Τῷ πόθῳ τρωθεὶς Χριστοῦ ἱερώτατε, τὸν νοῦν πτερωθεὶς τῇ αἴγλῃ τοῦ πνεύματος· ἐκ πρακτικῆς θεωρίας εὑρέθης θεόκλητος, θυσιαστήριον θεῖον γενόμενος, αἰτούμενος πᾶσι θείαν ἄφεσιν (1).**

Ὁ Οἶκος.

Τὸν ἐκ κοιλίας ἡγιασμένον ἱεράρχην Κυρίου ἀνευφημήσωμεν νῦν Σπυρίδωνα· τὸν τῆς χάριτος πλάκας νῦν δεξάμενον θείας δόξης, καὶ ἐν θαύμασι περιβόητον τῇ κτίσει, καὶ ὡς θερμὸν καὶ αὐτόπτην τῆς θείας ἐλλάμψεως ὑπάρχοντα, τὸν καὶ πάντων ἁμαρτανόντων ψυχαγωγόν· αὐτὸς γὰρ θύων τῷ βήματι τοῦ Χριστοῦ ἱερεῖον καθέστηκεν, αἰτούμενος πᾶσι θείαν ἄφεσιν.

Μηνὶ Δεκεμβρίῳ ΙΒ'. Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Σπυρίδωνος.

(1) Τὸ Κοντάκιον καὶ ὁ Οἶκος παραλλάσουσι τῶν γνωστῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὁ θαυματουργὸς κἂν τέθνηκε Σπυρίδων
Τοῦ θαυματουργεῖν οὐκ ἔληξεν εἰσέτι.
Ἀμφὶ δωδεκάτην βίοτον λίπε τόνδε.

Τελεῖται ἡ Σύναξις αὐτοῦ ἐν τῷ Ἀποστολείῳ τοῦ ἁγίου καὶ κορυφαίου Πέτρου, τῷ ἐγκειμένῳ τῇ ἁγιωτάτῃ Μ. Ἐκκλησίᾳ.

Ὠδὴ ζ΄. Οἱ παῖδες εὐσεβείᾳ.

Δαβὶδ μὲν βασιλεύειν, ἐκ ποιμνίου ἐκλεχθεὶς ὡς γέγραπται, σὺ δὲ θαυμάσιε πιστὸς ἐκ ποιμένος ἀναδέδειξαι, ἱερουργὸς πανευπρεπής, βοῶν τῷ κτίστῃ σου, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἐξίσταντο οἱ ὄχλοι, μὴ ὁρῶντες νοερῶν δυνάμεων θεῖα στρατεύματα Χριστοῦ ἐν ναῷ, ἀλλὰ τὸν δίκαιον σὺν αὐτοῖς συλλειτουργοῦντα καὶ συμψάλλοντα· ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ

Ὡς λόγον ἀληθείας, σὺ ἐκφαίνων εὐσεβῶς ἐκήρυττες, τὸ ὁμοούσιον λαμπρῶς, ἀφιστῶν τῆς πλάνης Ἄρειον· τὴν Τριάδα πείθων δὲ κηρύττειν μέλποντα, τοῖς τῶν Πατέρων ὀρθοῖς ἑπόμενον λογίοις.

Ἡ θεία μυροθήκη, τὸ εὐῶδες μῦρον ἔνδον φέρουσα, ἐν τῷ σπηλαίῳ Βηθλεέμ, ἐκκενῶσα τοῦτο ἔρχεται, μυστικῆς εὐωδίας πληροῦν τοὺς μέλποντας· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. «Οἱ παῖδες εὐσεβείᾳ».

Ὠδὴ η΄. Θαύματος ὑπερφυοῦς.

Τίς σου τὰς θαυματουργίας, ἀριθμίσει Ἱεράρχα, Σπυρίδων θεόφρον; ὑετοὺς κατήγαγες, οὐρανίους σῇ προσευχῇ· προσφωνοῦντί σοι σοφὲ παῖς ἀποκρίνεται, καὶ ῥοῦν ποταμῶν σὺ ἀνεχαίτισας καὶ σὸν φίλον ἐν τάχει μάκαρ διέσωσας· ἄνακτα ἴασω καὶ ξένα ἐπετέλεις.



Ἤλεγξας αἱρετικῶν τὰς κακονοίας, τῶν ἁπλῶν σου δογμάτων τοῖς λόγοις· πίστιν γὰρ ὀρθόδοξον, ἱεράρχα, καὶ ἀκλινῆ, θεοφάντορ, ἐκδιδάξας, ἀνεκήρυξας· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Θαύματα ὑπερφυῶς τοῖς ἀσθενοῦσιν, ἀναβλύζει σου πάτερ ἡ θήκη· ἐπαξίως ὤφθης γάρ, σκεῦος θεῖον τῆς ἐκλογῆς, καὶ λειμὼν τῆς ἀπαθείας εὐωδέστατος· πιστοὺς καθηδύνων τοὺς τιμῶντάς σου τὴν ἁγίαν καὶ θείαν φαιδρὰν καὶ ἔνδοξον, κοίμησιν ἀξίως, Σπυρίδων θεοφόρε.

Ἄκουσμα καινόν, σὺ ὦ παρθένε κόρη· μόνη τίκτεις γὰρ ἄφραστον τόκον, τὸν Σωτῆρα Κύριον, ἀπειράνδρως τὴν σὴν νηδύν, τὴν πανάχραντον σφραγίσαντα ὡς οἶδεν αὐτός· διὸ γεγηθότες ἐκβοῶμέν σοι· χαῖρε πάντων τῶν εὐσεβῶν τὸ διάσωσμα, μὴ παύσῃ πρεσβεύειν ἡμᾶς ἐλεηθῆναι.

Καταβασία. «Θαύματος ὑπερφυοῦς».

Ὠδὴ θ΄. Μυστήριον ξένον.

Χορεύσωμεν πνευματικῶς ὦ φιλέορτοι, καὶ χεῖρας κροτήσωμεν, ᾄσμασιν ἀνυμνοῦντες τὸν μέγαν καὶ θεῖον ποιμένα, οὗ νῦν σκῆνος πᾶσι τὸ πανίερον, πιστοῖς χορηγεῖ, ῥῶσιν ψυχῆς ὁμοῦ καὶ σώματος.

Ἐκήρυξας μέσον Συνόδου θεόσοφε, Λόγον τὸν συνάναρχον, ἅμα δὲ καὶ ληρώδη καθεῖλες Ἀρείου τὴν δόξαν σοφέ, καὶ τὴν Σύνοδον ἐκύρωσας· καὶ γὰρ ὤφθης σὺ τῆς πίστεως ὑπέρμαχος.

Θρόνῳ Θεοῦ παρεστηκὼς παμμακάριστε, σὺν θείοις στρατεύμασι, πάντων τῶν νοερῶν ἀσωμάτων, μὴ παύσῃ πρεσβεύειν,



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἀεὶ τὸν φιλάνθρωπον καὶ Κύριον, Χριστὸν τὸν Θεὸν, ὑπὲρ τῶν ἐν πίστει ἀνυμνούντων σε.

Ὑμνοῦμέν σε, εὐλογημένη πανύμνητε, ἣν ὑμνοῦσιν Ἄγγελοι πάντες καὶ θεοφόροι πατέρες καὶ πᾶσα ἡ κτίσις, Θεὸν ὑπεράγιον ὡς τέξασαν· αὐτὸν ἐλεεῖν τοὺς σὲ ὑμνοῦντας καθικέτευε.

Καταβασία. «Μυστήριον ξένον».

Ἐξαποστειλάρια [1] Ἐμ. Χρυσάφη. Τοῖς Μαθηταῖς.

Μέσον συνόδου πάνσοφε, θεοφόρων πατέρων, τὸν Υἱὸν ἀνεκήρυξας, ὁμοούσιον πάτερ, Πατρὶ καὶ Πνεύματι θείῳ, Ἄρειον κατακαύσας, τῇ ἀστραπῇ τῶν λόγων σου, καὶ τοὺς τούτου συμμάχους, τερατουργὲ ἱεράρχα· ὅθεν Σπυρίδων τιμῶμεν, καὶ δοξάζομεν τὴν ἁγίαν σου μνήμην.

Ἕτερον. Ἦχ. γ'. Ἐν πνεύματι τῷ ἱερῷ.

Τοὺς πένητας ὡς συμπαθὴς, ἱεράρχα Σπυρίδων, ἠγάπησας καὶ ἔθρεψας, πλουτοδότης ὡς μέγας, καὶ πρᾷος, σὺ, τοῦ Δεσπότου μιμητὴς πανάριστος καὶ γνήσιος ὑπηρέτης· ὄμβρον γὰρ ἐξ οὐρανοῦ ἐχορήγησας ἐν γῇ, εἰς ἀφθονίαν πενήτων.

Ἕτερον, Θεοτοκίον. ὁ αὐτός.

Ψυχή μου στέναξον πικρῶς, μεμνημένη τὰς πράξεις, ἃς ἐν τῷ βίῳ ἥμαρτες, φθόνῳ τῷ τοῦ Βελίαρ· ἐλέησόν με Δέσποινα, τῶν πιστῶν ἀνόρθωσις καὶ τῶν πιπτόντων ἡ στάσις. Διὸ πρὸ τέλους πάρασχε μετανοίας ἀφορμάς, δυσωπῶ σε.

(1) Τέως ἄγνωστα καὶ ἀνέκδοτα.



Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. ή'.

Ἦχ. α'· Τῶν Οὐρανίων ταγμάτων. Ἐμ. Χρυσάφη. [1]

Τῆς ἀπαθείας τὸ ὕψος σὺ τὸ ἀκρότατον, κατειληφὼς παμμάκαρ, καὶ θανάτου τὸ κράτος, ἔλυσας Σπυρίδων· παῖδα γὰρ σὴν τεθνηκυῖαν ἐζώωσας, καὶ πάλιν θνῆξαι προστάττεις, ὥσπερ Θεῷ, πάντα ἔχων σοι ὑπείκοντα.

Ἐν τῇ ἀπλάστῳ ψυχῇ σου, Σπυρίδων ὅσιε, τὸ ἀγαθὸν οἰκῆσαν καὶ πανάγιον Πνεῦμα, οἶκόν σε χαρίτων καὶ ποταμὸν ἰαμάτων ἀνέδειξε, καὶ τοῖς ἐν κόσμῳ ἀνέθετο φαεινὸν, ὡς ἀστέρα, πάτερ, ἄδυτον. [2]

Τῆς ὑψηλῆς πολιτείας νῦν ἐπιβέβηκας· ὁ ταπεινοὺς ὑψῶν γὰρ, εἰς μετάρσιον ὕψος, πρὸς ὕψος πολιτείας, πάτερ σοφὲ, νοητῶς ἀνεβίβασε, καὶ φαεινόν σε φωστῆρα τοῖς ἐπὶ γῆς, ἐναπέθηκεν ἀοίδιμε.

Τοῦ Μωϋσέως τὸ πρᾷον, πάτερ μιμούμενος, καὶ τῶν χαρίτων τούτου, ἠξιώθης Σπυρίδων, παράδοξα ἐν κόσμῳ ἐπιτελῶν καὶ ἐξαίσια πράγματα ἐν τῇ δυνάμει τοῦ πάντα τῷ ἑαυτοῦ, ἐνεργοῦντος θείῳ νεύματι.

(1) Τέως ἄγνωστα καὶ ἀνέκδονα ἅπαντα.

(2) Κατ' ἄλλην γραφὴν τὸ τέλος τοῦ τροπαρίου ἔχει: «οἶκόν σε χαρίτων καὶ θησαυρῶν τῶν θαυμάτων ἀνέδειξε, καὶ ἐν τῷ κόσμῳ σε ἔθετο φαειναῖς ταῖς ἀκτῖσι μεταυγάζοντα».

Ἑτέρα. ἦχ. δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν. Ἐμ. Χρυσάφη.

Ὡς ἀστὴρ τηλαυγέστατος, ἐν σεπτῷ στερεώματι, Ἐκκλησίας ἔλαμψας θεοδίδακτε, ἥλιος ἄλλος τὸ σύστημα, πατέρων τὸ ἅγιον, ἐκλαμπρύνας τῷ φωτί, τῆς ἀκτίστου θεότητος, τὸν φιλόσοφον, καταπλήξας τοῖς λόγοις τῆς σοφίας. τῆς δοθείσης σοι θεόθεν. εἰς ἀμοιβὴν σῆς πραότητος.

Τοῦ Χριστοῦ τὴν πραότητα, ἀκριβῶς μιμησάμενος, κατ᾽ αὐτὸν τὰ θαύματα πάτερ ἔπραξας· νεκροὺς γὰρ λόγῳ ἀνέστησας, καὶ ὄφιν μετέβαλες, σῇ ἐντεύξει εἰς χρυσόν, καὶ Ἀγγέλους συμψάλλοντας εἶχες ὅτε σου τὰς ἐντεύξεις Κυρίῳ ἀπεδίδως, παναοίδιμε Σπυρίδων, ἱεραρχῶν ἐγκαλλώπισμα.

Εὐφημείσθω μοι σήμερον, ἐν ᾠδαῖς καὶ ᾄσμασιν, ὁ σοφὸς Σπυρίδων ὁ θαυματόβρυτος, ὁ ἐπὶ γῆς ἄλλος ἄγγελος, ὁ φίλος ὁ γνήσιος τοῦ Χριστοῦ μου καὶ Θεοῦ, τῶν θαυμάτων ἡ ἄβυσσος, ὁ λαμπρότατος, Ἱεράρχης καὶ μέγας ἀντιλήπτωρ, τῶν πιστῶς μακαριζόντων, τὴν τούτου πάνσεπτον κοίμησιν.

Δόξα. ἦχ. πλ. δ΄. Μ. Σακελλαρίου τοῦ Μελιτινιώτου.

Εὗρες μὲν τῇ πολιτείᾳ σου Θεὸν τὸν βλέ-



ποντα τὰ κρύφια καὶ πρόδηλα, τὴν καρδίαν σου δεκτικὸν ποιήσας σκήνωμα· ὃς τὸ πρᾶον ἐπιζητεῖ καὶ πιστὸν πρὸς κατοικίαν αὐτοῦ ἀδιάλειπτον· ἔχει δὲ καὶ τὸ πανίερον καὶ θεοχαρίτωτόν σου σῶμα τὸν περίκλυτον τοῦτον ναὸν ἐπὶ γῆς, θαυμάτων πέλαγος ἀπείρων, ἀκοῶν τε θεραπευτήριον. Ἔνθα συντρέχοντες, Ἱεράρχα, σὲ δοξάζομεν, χάριν τῶν ἰάσεων ἐκ σοῦ κομιζόμενοι πάντες ἀπὸ τῶν ἐναντίων προσβολῶν. Ὡς γὰρ πρᾶος, Σπυρίδων, τοῖς πιστοῖς νέμει τὰ πρόσφορα.

Καὶ νῦν. «Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω κλπ.»

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

Εἰς τὴν Λειτουργίαν Ὠδὴ γ΄ καὶ ς΄. — Ὁ Ἀπόστολος εἰς Ἱεράρχην.

Πρὸς Ἑβραίους. Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεύς. Εὐαγγέλιον, κατὰ Ἰωάννην, Εἶπεν ὁ Κύριος, ἐγὼ εἰμὶ ἡ θύρα. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

# ΜΕΓΑΛΥΝΑΡΙΑ

ἤτοι **Ἐγκώμια εἰς τὸν ἅγιον Σπυρίδωνα.**

Ποίημα Κυρ. Ἐμμαν. τοῦ Χρυσάφη (1).

Στάσις Α῾.

Ἦχος Πλάγ. Α΄. πρὸς τὸ, Ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε, Ἱεράρχα Χριστοῦ, καὶ τιμῶμεν τὴν σορὸν τῶν λειψάνων σου, ὡς πηγάζουσαν ἰάματα πιστοῖς.

Μακαρίζομέν σε Ἱεράρχα Χριστοῦ, καὶ τιμῶμεν τὴν σορὸν τῶν λειψάνων σου, ὡς προχέουσαν ἰάσεων πηγάς.

Μακαρίζομέν σε, ὦ Σπυρίδων σοφὲ, καὶ τιμῶμεν τὴν ἁγίαν σου Λάρνακα, δι' ἧς πᾶσι τὰς ἰάσεις χορηγεῖς.

Μακαρίζομέν σου τὴν ἁγίαν ψυχὴν, ἣν εἰς ἄνω μετὰ δόξης οἱ ἄγγελοι προσεκόμισαν τῷ πάντων βασιλεῖ.

Μακαρίζομέν σε τῶν ποιμένων φωστὴρ, ἐκκλησίας ὀχυρότατον ἕδρασμα, ἱεράρχα, καὶ δογμάτων θησαυρέ.

Τῶν πραέων τύπος ἀναδέδειξαι σύ, καὶ πασῶν τῶν ἀρετῶν τὸ θησαύρισμα, βασιλείας Ἱεράρχα κοινωνέ.

Ἐκ ποιμνίου ὥσπερ τὸν Δαυΐδ ὦ σοφέ, ὁ τῶν πάντων ἱεράρχης καὶ Κύριος, σὲ ἀνέθετο εἰς ποίμνην λογικήν.

Τοῦ Δαυΐδ τὸ πρᾶον, μιμησάμενος σύ, καὶ τὸ ἄπλαστον Μωσέως μιμούμενος, ἀνεδείχθης ὅλος οἶκος τοῦ Θεοῦ.

Ζῇς καὶ μετὰ μόρον, ὥσπερ ἔφη Χριστὸς· ὁ πιστεύων εἰς ἐμὲ, φησὶ, ζήσεται, μὴ δεξάμενος θανάτου τὴν φθοράν.

(1) Πάντα τέως ἄγνωστα.



Ἰακὼβ ἐδείχθης, πᾶσιν ἄλλος ἡμῖν, πρᾶος ὄντως ἱλαρός τε καὶ μέτριος, ἱεράρχης ἄκακος θεοσεβής.

Ἀβραὰμ ἐκτήσω τὸ φιλόξενον σὺ, τοῦ Αὐσίτιδος Ἰὼβ τε τὸ ἄμεμπτον, καὶ τὸν ζῆλον τοῦ προφήτου Ἠλιοῦ.

Ἐνὼχ μετετέθη, εὐαρεστήσας Θεῷ· σοῦ δὲ ὅλος, πάτερ, μετάθεσις, ὑπῆρχεν ὁ βίος, Θεοῦ εὐαρεστοῦντος.

Ἰὼβ ἄλλος ὤφθης, σὺ Αὐσίτης, σοφέ, ἄμεμπτος ἀληθινὸς καὶ ἀκέραιος, ἀπεχόμενος ἐκ πράγματος κακοῦ.

Πέτρου θεῖον ζῆλον ἐμιμήσω καλῶς· ὅθεν οὐρανῶν τὰς κλεῖς ἔλαβες, ὡς ἐκεῖνος, ὦ Σπυρίδων σοφέ.

Νοητὸς ἐδείχθης ὠκεάνειος ῥοῦς· τῇ πλημμύρᾳ τῶν πανσόφων λογίων σου κατεξήρανας αἱρέσεων πηγάς.

Ὡς ἀστὴρ ἐφάνης ἐν Συνόδῳ τὸ πρὶν, τὸν γαυρότατον αἰσχύνας φιλόσοφον, καὶ τὸ κράτος τοῖς πιστοῖς παρεσχηκώς.

Ποταμὸς ἐδείχθης νειλοάνειος (1) σὺ, πλημμυρεῖς τῶν σῶν θαυμάτων τὸ ἔλεος, καὶ ἰάσεις ἐπιχέεις τοῖς πιστοῖς.

Ἀρετῶν εἰς ὕψος ἀναβὰς ὦ σοφὲ, τῷ Θεῷ καθαρωτάτως ὡμίλησας, οὗ τῆς θείας αἴγλης λάμπρυνον ἡμᾶς.

Τῶν χηρῶν προστάτης καὶ πατὴρ ὀρφανῶν, τῶν πενήτων χορηγὸς παναοίδιμε, σὺ ἐγένου καὶ πενθούντων χαρμονή.

Ἀπὸ τῶν περάτων ἕως ἄκρου τῆς γῆς, ἡ λαμπρότης σῶν θαυμάτων ἐφήπλωται, καὶ φωτίζει τὰς καρδίας τῶν πιστῶν.

Οὐδεὶς καταφεύγων ἐπὶ σέ, θαυμαστὲ, καὶ αἰτεῖται θεραπείαν τοῦ σώματος, ἐκπορεύεται κενὸς θαυματουργέ.

Ἡ σορὸς ἡ θεία τῶν λειψάνων τῶν σῶν, καθεκάστην χορηγεῖ τὰ ἰάματα, τοῖς πιστῶς προσερχομένοις ἐν αὐτῇ.

Κυπριέων (2) νῆσος, δεῦτε δράμε τανῦν, ἑορτάσαι τὴν σεβάσμιον κοίμησιν τοῦ σεπτοῦ σου πολιούχου φαιδρῶς.

(1) Ὠκεάνειος, κατ' ἄλλ. γρ.— (2) Κερκυραίων, λέγε, εἰ θέλεις. Σ. Π.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣ...ΤΟΡΗΣ

Τριμυθούντων κλέος καὶ ποιμὴν ἀληθὴς, ἐγκαλλώπισμα ὁσίων μακάριε, τοὺς ὑμνοῦντάς σε νῦν ῥύου συμφορᾶς.

Κωνσταντίνου (¹) πόλις νῦν χορεύει λαμπρῶς, ἐκτελοῦσα ἑορτήν σου τὴν πάνσεπτον, Ἱεράρχα ἐπισκόπων ὁ φωστήρ.

Τοὺς ὑμνοῦντας πόθῳ τὴν σὴν μνήμην σοφὲ, διατήρησον ἀτρώτους ἐκ βλάβης τε πονηρᾶς Ἱεραρχῶν ἡ καλλονή.

Βασιλίδα πόλιν νῦν συντήρει σοφέ· σκέπε, φρούρει, διαφύλαττε πάντοτε, παρακλήσεσι σεπταῖς σου πρὸς τὸν Θεόν.

Τὴν ψυχήν μου Πάτερ, ἐκ παντοίων κακῶν διατήρησον εὐχαῖς σου ἀπήμαντον, ὅπως πίστει σε καὶ πόθῳ προσκυνῶ.

Τῇ φρικτῇ ἐν ὥρᾳ, ὅταν μέλλω σοφέ, εἰς τὸ βῆμα τὸ φρικῶδες παρίστασθαι, εὕροιμί σε Ἱερέρχα βοηθόν.

Δέξαι μου τὸν ὕμνον, κἂν ἐλάχιστος ᾖ, κἂν καὶ μέγα σὺ προσφθέγξαι δυνήσομαι, σύ μοι ἔμπνευσον λόγον εἰς τὸ ἑξῆς.

Μετὰ τῆς πανάγνου Θεοτόκου σοφὲ, καθικέτευε δοθῆναί μοι ἄφεσιν τῶν πταισμάτων καὶ δεινῶν ἀπαλλαγήν.

Στόματι καὶ γλώσσῃ, καὶ ψυχῇ καὶ νοΐ, καὶ καρδίᾳ τε καὶ χείλεσιν ἄχραντε, Θεοτόκε ἀληθῶς σε προσκυνῶ.

---

Στάσις Βα.

Ἦχος Πλάγ. Α΄. πρὸς τὸ Ἄξιον ἐστί.

Ἄξιον ἐστί, μακαρίζειν σε τὸν Ἱεράρχην, ὡς τὸν θλιβομένων παράκλησιν καὶ τῶν ἐν ἀνάγκαις θερμὸν προστάτην.

Ἄξιον ἐστί, μακαρίζειν σε τὸν Ἱεράρχην, ὡς τῶν ἀσθενούντων παράκλησιν καὶ τῶν θλιβομένων παρήγορον τὸν θεῖον.

Ἄξιον ἐστί, μακαρίζειν σε Σπυρίδων μάκαρ, ὡς τὸν λυπουμένων παράκλησιν, καὶ τῶν κωφευόντων ταχύν τε ἰατῆρα.

(1) *Κερκυραίων, λέγε, εἰ θέλεις.* Σ. Π.



Καὶ τίς ἱκανός, διηγήσασθαι τῶν σῶν θαυμάτων, πάτερ τὸ ἀμέτρητον πέλαγος, ἃ καὶ ζῶν ἐτέλεις, καὶ μετὰ μόρον, μάκαρ.

Ἀδὰμ ἐντολήν, μὴ φυλάξας τῆς Ἐδὲμ ἐρρίφθη, σὺ λαβὼν δὲ ταύτην ἐφύλαξας, καὶ τοῦ παραδείσου τετύχηκας θεόφρον.

Δεύτερος σοφὲ, ἀναδέδειξαι Ἠλίας μάκαρ, ὄμβρους οὐρανίους κατήγαγες προσευχῇ σου θείᾳ, Σπυρίδων θεοφόρε.

Ὄντως Ἰωσήφ, ἀνεφάνης πάτερ σιτοδότης, ὄμβρον οὖν τῇ γῇ ἐχορήγησας, ἔθρεψας πεινῶντας, εἰς εὐθηνίαν μάκαρ.

Ἄλλος Μωϋσῆς, ἀνεφάνης ἐπὶ γῆς παμμάκαρ, ῥάβδον γὰρ εἰς ὄφιν πάλαι πεποίηκε, σὺ δὲ εἰς χρυσίον μετέβαλες Σπυρίδων.

Ἐλισσαῖος σὺ, ἀναδείκνυσαι ἄλλος θεόφρον, ἔστησας ποτάμια ῥεύματα, καὶ σὸν φίλον μάκαρ, διέσωσας ἐν τάχει.

Ἔβλεψας σοφέ, εἰς ψυχῆς ἀθεωρήτους πόνους, πόρνης μηδαμῶς προσψαυσάσης σου· ἐξειπὼν τὰ ταύτης, συγγνώμην ἐδωρήσω.

Σοῦ τῇ ἀστραπῇ, τῇ τῶν λόγων κατέκαυσας πάτερ, πάλαι λῆρον ὄντως φιλόσοφον, ἐν τῇ πρώτῃ μάκαρ, συνόδῳ Νικαέων.

Εἷς ἐστὶ θεὸς, τρισυπόστατος ἐβόας, μάκαρ, Ἄρειον τὸν ἄλογον ἤλεγξας, καὶ πιστοῖς τὸ κράτος, ἐκύρωσας Σπυρίδων.

Ὢ θαῦμα φρικτὸν, ὡς Χριστὸς ἐπὶ Λαζάρῳ πάλαι, οὕτω προσεφώνησας σὺ σοφὲ, τὴν νεκρὰν ἐν τάφῳ, καὶ λόγον ἀπέδωκέ σοι.

Ἐπαίδευσας ποτὲ, δι᾽ αἰγὸς πλεονεξίας μάκαρ, ἁρπαγῆς ἀπέχεσθαι πάντοτε καὶ τολμῆσαι μήπω ἐρᾶν τῶν ἀλλοτρίων.

Νόσου τε δεινῆς, βασιλέως πάτερ τετρυχότος, Κωνσταντίου ταύτης ἀπήλλαξας, σεπταῖς πρεσβείαις, πρὸς Κύριον Σπυρίδων.

Γνώσας μαθητοῦ, Τριφυλλίου ἐν τοῖς βασιλείοις, βλέποντος ποτὲ καὶ θαυμάζοντος, ἔλεγες Σπυρίδων, τί τὰ κενὰ λογίζῃ;

ΕΛΛΗΝΙΚΟ ΛΟΓΟΤΕΧΝΙΚΟ ΚΑΙ ΙΣΤΟΡΙΚΟ ΑΡΧΕΙΟ — ΠΑΛΛΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ…

Βάρβαρος γυνή, προσπεσοῦσα τοῖς ποσί σου μάκαρ, ᾔτει τοῦ παιδὸς αὐτῆς ἀναβίωσιν· παραχρῆμα δ' αὖθις ἐζώωσας Σπυρί-[δων.

Ἔσχες ἐν φαιδρῷ, σοῦ τῷ σχήματι ἀγγέλους, πάτερ, σοὶ συλλειτουργοῦντας καὶ ψάλλοντας, ὅτε ἀπεδίδως Κυρίῳ τὰς [εὐχάς σου.

Σοῦ τῇ κεφαλῇ, ἐναπέκειντο ψεκάδες Πάτερ, ὥρᾳ τῇ τοῦ θέρους καὶ καύσωνος, τιμὴν ὑπερτέραν, δηλοῦσαι Ἱεράρχα.

Δόξαν τε κενὴν καὶ ὑπέροφρυν φθογγὴν Λευΐτου, μάκαρ πληκτικῶς ἀπεκώφωσας, ἔσχατον δὲ πάλιν ἔλυσας, Ἱεράρχα.

Γυναῖκα ποτέ, μοιχευθεῖσαν καὶ μὴ δεχομένην, τὴν ἐξομολόγησιν πάνσοφε, φεῦ! ἐπιτιμήσας παρέδωκας θανάτῳ.

Ἤλεγξας σοφέ, κακοδόξων τὰς αἱρέσεις πάτερ, ἄγαλμα δὲ τούτων συνέτριψας, προσευχῇ σου θείᾳ, Σπυρίδων Θεοφόρε.

Ἔπρεπεν ἡμῖν, ὡς ὁ θεῖος ἀνεβόα Παῦλος, τοιοῦτος ἀρχιερεὺς ὅσιος, ἀμίαντος, πρᾶος, καὶ ἄκακος Σπυρίδων.

Κείμενον σοφέ, σοῦ τὸ τίμιον ἐν τάφῳ σῶμα, θαύματα πηγάζει ὡς νάματα, καὶ παντοῖα παύει νοσήματα θεόφρον.

Ὅσιος εὐθύς, ταπεινὸς καὶ ἄκακος καὶ πρᾶος, πάτερ γεγονὼς παναοίδιμε, πρὸς τὸ ὕψος ἤρθης τῆς ἀρχιερωσύνης.

Ὡς ἱεραρχῶν, ἐγκαλλώπισμα φωστὴρ καὶ τύπος, τίς οὐ τὰ ἐξαίσια τέρατα κατανοῶν ἐξείπῃ, ὅσα καὶ ζῶν ἐτέλεις.

Πρέσβευε σοφέ, τοῦ ρυσθῆναί με βλάβης παντοίας, ὅτι πλήν σου ἄλλον οὐ κέκτημαι, φύλακα προστάτην μετὰ Θεὸν Σπυ-[δων.

Δέσποινα σεμνή, Παναγία Θεοτόκε Κόρη, σὲ καθικετεύω καὶ δέομαι, μή με ἀπορρίψῃς ἀπὸ τοῦ σοῦ προσώπου.



Ἕτερα Μεγαλυνάρια. (1)

Σὲ τὸν ἱεράρχην, μακαρίζομεν πάντες οἱ εὐσεβεῖς ὡς θεράποντα Χριστοῦ τοῦ Θεοῦ.

Σὲ Θεοῦ θεράπων, μακαρίζομεν πάντες οἱ γηγενεῖς ὡς μεσίτην πρὸς Χριστὸν τὸν Θεόν.

Σὲ δοξάζει μάκαρ, ὁ τῶν πάντων Ἱεράρχης καὶ Θεός, ὡς δοξάσαντα ἐν πᾶσιν αὐτόν.

Σὲ Σπυρίδων μάκαρ, μακαρίζει τῶν πιστῶν ἡ πληθύς, ὡς μακάριον ποιμένα καὶ καλόν.

Θάλασσα ἐδείχθης, τῶν θαυμάτων ξένη ὄντως σοφέ, καὶ βραβεύεις πᾶσιν ἴασιν νῦν.

Σὺν ἀγγέλοις ᾄδων, τὸν Τρισάγιον ὕμνον τῷ ποιητῇ, τῶν τιμώντων σε μνημόνευε σοφέ.

Θεόφρων Σπυρίδων, χαίροις ἄνω ἐντρυφῶν τοῖς ἀγαθοῖς, οἷς χαρίτωσον καὶ ἡμᾶς τοὺς πιστούς.

---

Στάσις Γ'. Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ αἱ πᾶσαι, μακαρίζομέν σε, Σπυρίδων Θεοφόρε.

Σὲ μακαριοῦμεν, τῶν ἀρχιερέων, κειμήλιον τὸ θεῖον.

Ἄγγελος ἐφάνης, ἐπὶ γῆς τρισμάκαρ, οὐράνιος θεόφρων.

Φίλος ἀνεδείχθης, γνήσιος τοῦ πάντων, Θεοῦ θαυματοφόρε.

Ποτάμια ρεῖθρα, ἔστησας Σπυρίδων, σῇ πρὸς Θεὸν δεήσει.

Νεκροὺς εἶ ἀναστήσας, τῇ προσευχῇ σου μάκαρ, ὡς τοῦ Θεοῦ [θεράπων.

Ἱεράρχα πάτερ, Σπυρίδων θεοφόρε, σῶζε τοὺς σὲ ὑμνοῦντας.

(1) Ταῦτα ψάλλονται οὐχὶ πρὸς τὸ Μακαρίζομέν σε, ἀλλὰ ἰδιορρύθμως. Σ. Π.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τοὺς εὐρύθμους ψάλτας, τῆς σῆς ὑμνῳδίας, φύλαττε εἰς [αἰῶνα.

Δέσποινα Παρθένε, μετὰ τοῦ Ἱεράρχου, σκέπε τοὺς σὲ ὑ-[μνοῦντας.

Ἕτερα Ἐγκώμια, Ἦχος γ'.

Τὸν ποιμένα τὸν μέγαν, τὸν ἐκ τοῦ ποιμνίου, Σπυρίδωνα τὸν θεῖον, ὑμνήσωμεν συμφώνως.

Τῶν ἀρχιερέων κρηπὶς ἀνεδείχθης καὶ στύλος εὐσεβείας, Σπυρίδων θεοφόρε, πτωχῶν δὲ πλουτοδότης.

Συνόδῳ τῇ πρώτῃ, σὲ Θεὸς δοξάζει, Ἄρειον τὸν ἄνουν, μωραίνοντα σοῖς λόγοις, Σπυρίδων Ἱεράρχα.

Εὕρομέν σε ῥύστην, ἅμα καὶ προστάτην, ἐν ὥρᾳ καταδίκης, Σπυρίδων Ἱεράρχα.

Ἡ σορὸς τῶν λειψάνων, βρύει καθ' ἑκάστην, ἰάματα Σπυρίδων, τοῖς πίστει προσιοῦσιν, ἐν τῇ θερμῇ σου σκέπῃ.

Θαυμάσιε Σπυρίδων, δέξαι μου τὸν ὕμνον, καὶ βράβευσόν μοι χάριν, ἐξ ὕψους θεοφόρε, ἵνα σὲ μακαρίζω.

Ἕτερα, Θεοτοκία.

Ἀκατάφλεκτε βάτε, ἀλατόμητον ὄρος, πόλις τοῦ μεγάλου βασιλέως, χαῖρε κόρη.

Βάτον καιομένην, καὶ μὴ φλεγομένην, προεώρα πάλαι, Μωϋσῆς ὁ θεόπτης, ἐν τῷ Σιναίῳ ὄρει.

Γῆν τὴν παναγίαν, τέξασαν ἀσπόρως, ἄσταχυν τὸν θεῖον, Χριστὸν τὸν ζωοδότην, ὑμνήσωμεν ἀπαύστως.

Δέσποινα παρθένε, Μαρία Θεοτόκε, μετὰ τοῦ Ἱεράρχου Σπυρίδωνος τοῦ θείου φώτιζε τοὺς σὲ ὑμνοῦντας.



Πυρίμορφε στύλε, ὁλόφωτε λυχνία, λαβὶς ἀνθρακοφόρε, καὶ Σκηνὴ καὶ Πόκε χαῖρε.

Ζωηφόρε πανύμνητε, ζώωσόν με μόνη ἡ πρόξενον τεκοῦσα, ζωῆς τῆς ἀϊδίου, ἵνα σε μεγαλύνω.

Ὁδηγήτρια πάναγνε, ῥῦσαι πάσης βλάβης, τὸ λάχος τοῦ Υἱοῦ σου, βαρβάρων τῶν ἀθέων, σοὶ γὰρ ἐλπίζει μόνῃ.

Χαίροις θρόνε πυρίμορφε, χαίροις στάμνε θεία, καὶ κλίνη καὶ λυχνία, χρυσόμορφε καθέδρα, χαίροις, καὶ πάλιν χαίροις!

Τὴν ἀνερμηνεύτως Κόρην, τὸν ἕνα τῆς Τριάδος, συλλαβοῦσαν καὶ ἀποτεκοῦσαν, λόγοις προφητῶν τε ὑμνήσωμεν συμφώνως.

Ὦ φωτὸς δοχεῖον, τοῦ ἐνυποστάτου, λάμπρυνον ψυχῆς μου καὶ σώματος τὰς κόρας, ἵνα σε μεγαλύνω.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΒΙΟΣ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΠΥΡΙΔΩΝΟΣ

## Ἐπισκόπου γενομένου Πόλεως Τριμυθοῦντος.

*Συνταχθεὶς ὑπὸ Θεοδώρου Ἐπισκόπου πόλεως Πάφου.*

*(Ἐξ ἀνεκδότου Κώδηκος τῆς ἐν Βιέννῃ Καισαροβασιλικῆς Βιβλιοθήκης.*

Κεφ. Α΄. Ἐν ἀρχῇ ἦν ὁ Λόγος, φησὶν Ἰωάννης ὁ Εὐαγγελιστὴς καὶ Θεολόγος (1)· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν· πάντα δι᾽ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσιν εἰς αὐτόν. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ᾽ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ

(1) Τὸ χειρόγραφον τῆς Βενετίας προσθέτει **«καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος»**, κατὰ τὰ χειρόγραφα Βουλισμᾶ καὶ Νικοχάβουρα.



ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας (1). Τοῦτον οὖν τὸν ἐν ἀρχῇ ὄντα Θεὸν, τὸν σαρκωθέντα ἐκ τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τὸν τέλειον ἐν Θεότητι, τὸν αὐτὸν τέλειον καὶ ἐν ἀνθρωπότητι, τὸν φωτίζοντα πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, τὸν πλήρη χάριτος καὶ ἀληθείας, φωτισμὸν καὶ ὁδηγὸν καὶ σωτῆρα καὶ φύλακα ἐπικαλοῦμαι (2) ὁ πτωχὸς, τὸν τοῦ Σπυρίδωνος τοῦ Θεοφόρου καὶ σεβασμίου (3) διηγήσομαι βίον.

Κεφ. Β΄. Οὗτος τοίνυν, ὁ τῆς ἐπουρανίου μητροπόλεως Ἱερουσαλὴμ (4) υἱὸς, Κύπριος μὲν ὑπῆρχε τῷ γένει, τὴν δὲ τοῦ μακαρίτου Πατριάρχου Ἰακώβου πολιτείαν μιμούμενος, ποιμὴν γέγονε προβάτων, καὶ τῆς τῶν πολλῶν (5) συνουσίας καὶ συναναστροφῆς χωρίσας ἑαυτὸν, τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον ἠσπάζετο. Γυναικὶ δὲ νομίμως καὶ σωφρόνως συναφθεὶς καὶ τεκνώσας μετ᾽ αὐτῆς, καὶ ταύτῃ ἐπὶ χρόνον τινὰ συνοικήσας, τῆς προηγουμένης ποιμαντικῆς ἐπιμελείας καὶ διαγωγῆς οὐκ ἀφίστατο, ἀλλὰ τοῖς ἐρημοτέροις (6) καὶ ἡσυχίαν αὐτῷ παρέχουσι τόποις ἐμφιλοχωρῶν, καὶ ποιμαίνων τὰ πρόβατα, ἐμελέτα ἐν νόμῳ Κυρίου διὰ πάσης ἡμέρας καὶ νυκτός. Τοῦτον οὖν τὸν πόνον καὶ τὸν πόθον εἶχεν ὁ μακάριος οὗτος καὶ ἀληθῶς φιλόσοφος ἀνὴρ (7)· τὴν δὲ πρὸς τὸν Θεὸν ἀγάπην καὶ πρὸς πάντας ἀνθρώπους κτήσασθαι θέλων, καὶ ἐν αὐτῇ διὰ παντὸς ἐγγυμναζόμενος (8) γέγονεν ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, καὶ πάσης ἀρετῆς σπεύδων ἐπιμιμήσασθαι (9), πάσης ἀρετῆς καρπὸν (10) ἐκαρποφόρει τῷ

(1) Τὰ ἀπὸ τοῦ «οὗτος ἦν» μέχρι «*Καὶ ἀληθείας*» παραλείπονται ἐν τῷ τῆς Βεν. Κώδ. (2) Βουλ. καὶ Νικοχ. ἐπικαλούμενος. (3) Β. καὶ Ν. σεβασμίου πατρός. (4) Β. καὶ Ν. *Ἱερουσαλὴμ* παραλείπεται. (5) Β. καὶ Ν. πολλῶν ἀνθρώπων. (6) Β. καὶ Ν. τῆς προειρημένης ποιμαντικῆς ἐπεμελεῖτο διαγωῆς τοῖς ἐρημικωτέροις κτλ. (7) Β. καὶ Ν. καὶ ἀληθῶς φιλόσοφος. (8) Β. καὶ Ν. διὰ παντὸς ἑαυτὸν ἐγγυμνάζων. (9) Β. καὶ Ν. ἐπιμελήσασθαι. (10) καρπούς.

Θεῷ κατὰ καιρόν. Φιλάδελφος γὰρ καὶ φιλάνθρωπος καὶ φιλόξενος λίαν ὑπάρχων, τὴν ἐν τῷ μακαρίῳ Ἰὼβ κειμένην φωνὴν ἐζήλου καὶ ἐπλήρου, τὴν λέγουσαν· «παντὶ ἀνθρώπῳ ἀνέῳκταί μου ὁ οἶκος», οὗτος· ἐκ τῆς τοῦ Θεοῦ κατανυγόμενος ἀγάπης πᾶσιν ἀνθρώποις, ἀγαθοῖς τε καὶ πονηροῖς, μετεδίδου τροφῆς ἐκ τῶν ἰδίων καμάτων, τὴν τοῦ μακαρίου Πατρὸς ἡμῶν καὶ Πατριάρχου Ἀβραὰμ φιλοξενίαν μιμούμενος, καὶ ἀεὶ ἔχων ἐν νῷ τὴν τοῦ Ἀποστόλου Παύλου διδασκαλίαν, καὶ ταύτῃ(1) ἐκπαιδεύων ἑαυτόν, τῇ λεγούσῃ, τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθαι· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους· «δι' ὃ καὶ ἔσπευδε πάσῃ δυνάμει μηδένα τῶν παραπορευομένων ἀμοιρῆσαι(2) τῆς τοιαύτης ξενοδοχίας, ἀλλὰ πάντας δεχόμενος ἄνευ γογγυσμοῦ μετὰ χαρᾶς, καὶ πᾶσι δουλικὴν ὑπουργίαν(3) ἐπιτελῶν, καὶ σπεύδων(4) πάντας κατὰ δύναμιν ἀναπαύειν, καὶ ὕδατι τοὺς πόδας τῶν κεκμηκότων ἀπὸ (5) τῆς ὁδοιπορίας ἀποπλύνων καὶ ἀναψύχων, πᾶσιν ἦν ποθητὸς (6), πᾶσιν ἀγαπητὸς, πᾶσιν αἰδέσιμος, πᾶσιν ἐπέραστος· ἀλλὰ μὴν καὶ πάσης ἀρετῆς ἐπιμιμούμενος (7), διὰ σπουδῆς εἶχεν ἐπάνω πάντων τῶν (8) ὀλεθρίων παθῶν τῇ τοῦ Θεοῦ δυνάμει ἀναδειχθῆναι· τήν τε γαστριμαργίαν διὰ τῆς συντόνου ἐγκρατείας ἐνίκησε, τῆς δὲ πορνείας διὰ τῆς ἐνδελεχοῦς πρὸς τὸν Θεὸν προσευχῆς καὶ ψαλμῳδίας διὰ πάσης ἡμέρας τε καὶ νυκτὸς ἐν τῇ ἐρημικῇ τοῦ Θεοῦ ἡσυχίᾳ ὑπεράνω γέγονε, τὴν ἄκραν σωφροσύνην καὶ καθαρότητα τῆς καρδίας κατορθώσας. Φιλαργυρίαν δὲ ἐνίκησε(9) διὰ τῆς αὐταρκείας. Ὀργῆς δὲ κέντροις διὰ τῆς πολλῆς ἡσυχίας καὶ τοῦ μὴ κινῆσθαι οὐ περιεσπάρη(10)· ἐπιθυμίᾳ ἀλλοτρίων κτημάτων οὐχ ὑπέπεσεν, ἀλλὰ καὶ τούτου τοῦ πάθους τῇ τοῦ Χριστοῦ δυνάμει ὑπεράνω γέγονεν. Ἀθυμίαις δὲ ἢ λύπαις ἢ καταβαπτι-

(1) Β. κ. Ν. ταύτην. (2) Β. κ. Ν. ἀμελῆσαι. (3) Β. κ. Ν. πᾶσι δουλικὴν λειτουργίαν. — (4) Β. κ. Ν. ἔσπευδε. — (5) Β. κ. Ν. ἐκ. — (6) Β. προσιτός. — (7) Β. κ. Ν. ἐπιμελούμενος. (8) Β. κ. Ν. ἐπάνω τοσούτων. (9) Β. νικᾷ. (10) Β. κ. Ν. καὶ τῆς τοῦ μὴ κινεῖσθαι οὐ περιεπάγη.



σμοῖς ἢ ἀπελπισμοῖς, ἀεὶ (1) τῇ ἐλπίδι τῆς αἰωνίου ζωῆς χαίρων οὐχ ὑπέκλινεν ἑαυτόν. Ἀκηδία ἐν αὐτῷ χώραν οὐδέποτε εὗρεν. Ἀδιαλείπτως γὰρ νυκτός τε καὶ ἡμέρας τῷ Θεῷ, ὡς εἴρηται, ἑαυτῷ δοὺς, καὶ ἀπὸ τοῦ ἔργου σχολὴν οὐκ ἄγων, (2) ἀλλ' ἐργαζόμενος νυκτὸς καὶ ἡμέρας καὶ ἐκ τοῦ ἰδίου καμάτου τοῖς δεομένοις παρέχων, καὶ τοὺς ξένους ὑποδεχόμενος ἀκηδιᾶσαι οὐκ εὐκαίρει· ἀλλὰ πάντοτε ἦν (3) πρόθυμος ἐν πᾶσι τοῖς θεϊκοῖς ἔργοις. Πᾶσαν δὲ κενοδοξίαν διὰ τῆς ἀληθινῆς καὶ ἀσχηματίστου πρᾳότητος καὶ ταπεινοφροσύνης κατεπάτησε καὶ παντελῶς ἐξηφάνισεν. Οὐδὲ τῆς ὑπερηφανείας τὸ πάθος ἐν αὐτῷ χώραν εὗρε ποτέ. Πάντα δὲ τὰ πάθη τῇ τοῦ ὁδηγοῦντος αὐτὸν (4) ἁγίου Πνεύματος δυνάμει ἔκ τε τοῦ σώματος καὶ τῆς ψυχῆς ἐξωστράκισεν, ὡς(5) ἐντεῦθεν ναὸν καὶ οἰκητήριον τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἀναφανῆναι τὸν τοιοῦτον τῆς εὐσεβείας ἀγωνιστὴν καὶ τῶν παθῶν νικητήν. Ἐν τούτοις τοίνυν τοῖς κατορθώμασιν ἐπὶ χρόνον διαιτώμενος *καὶ ὑπὸ τοῦ ἁγίου Πνεύματος τὴν ψυχὴν φωτιζόμενος γέγονεν ἰατρὸς ψυχῶν, καὶ πνευμάτων ἀκαθάρτων φυγαδευτὴς*(6). Πᾶσαν γὰρ νόσον καὶ πᾶσαν μαλακίαν ἀπό τε τῶν ψυχῶν, ἀπό τε τῶν σωμάτων τῶν ἀνθρώπων οὗτος ὁ τὴν ψυχὴν πεφωτισμένος Σπυρίδων τῇ δυνάμει τοῦ ἁγ. Πνεύματος ἐκδιώκων ἀεὶ ἰατρὸς ἄριστος καὶ πνευματικὸς ἀνεδείχθη(7)· ὡς πληρωθῆναι καὶ ἐπ' αὐτῷ τὴν εὐαγγελικὴν φωνὴν, τὴν λέγουσαν. «Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ». Ἔλαμψε γὰρ ἀληθῶς ἡ αὐτοῦ πολιτεία (8) τῇ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ καὶ ἐμπεριπατοῦντος ἁγίου Πνεύματος χά-

(1) Β. Ν. Οὕτως ἀεί. (2) Β. Ν. ὡς εἴρηται τῷ Θεῷ συνεχῶς εὐχόμενος καὶ μηδέποτε ἑαυτῷ δοὺς ἀπὸ τοῦ ἔργου σχολήν. (3) Β. Ν. ὤν. (4) Β. Ν. αὐτῷ (sic). (5) Β. Ν. καί. (6) Β. Ν. καὶ ὑπὸ τοῦ ἁγίου Πνεύματος ὁδηγούμενος ἰατρὸς ἄριστος καὶ πνευματικὸς ἀνεδείχθη. (7) Β.Ν. ἀπὸ τοῦ, πᾶσαν γὰρ, μέχρι τοῦ, ἀνεδείχθη, παραλείπεται καὶ ἐξακολουθεῖ «ὡς πληρωθῆναι κτλ.» (8) Β. Ν. Ἔλαμπεν ἀληθῶς ἡ σεμνὴ αὐτοῦ πολιτεία.

ριτι, καὶ πᾶσι τοῖς ἐν τῇ Κυπρίων νήσῳ οἰκοῦσι κατάδηλος, ὡς εἴρηται, διὰ τὴν ἐνάρετον αὐτοῦ πολιτείαν γέγονεν, ἀλλὰ καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ, ὡς μικρὸν ὕστερον εἰρήσεται. Ἀγαθῶν γὰρ πόνων, φησὶν ἡ θεία Γραφή, καρπὸς εὐκλεὴς καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως. Ἐν τούτοις τοίνυν τοῖς προειρημένοις κατορθώμασι διημερεύων καὶ διανυκτερεύων ἀεί, ἔλαβεν ἀπὸ τοῦ Κυρίου ἐξουσίαν, καὶ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Πᾶσαν γὰρ αὐτοῦ τὴν φάλαγγα τῶν δαιμόνων ἐξαφανίσας (1) ἀπώλεσε τὸ μνημόσυνον αὐτοῦ(2) μετ' ἤχου· ὡς τῇ ὑπερβολῇ τῆς ἁγιότητος(3)αὐτοῦ μὴ δύνασθαι τὸν σατανᾶν ἢ τοὺς αὐτοῦ δαίμονας στῆναι κατὰ πρόσωπον αὐτοῦ ἢ φαίνεσθαι τὸ σύνολον. Τοιαύτην οὖν ἐπάρεστον (4) πολιτείαν κτησάμενος καὶ ἐπὶ τοσοῦτον ὕψος τῆς παντελοῦς ἀπαθείας τῇ χάριτι καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος ἀνελθών, πρῶτος τῆς Τριμυθουντέων (5) πόλεως ἁγίας ἐκκλησίας τῇ δικαίᾳ τοῦ Θεοῦ ψήφῳ δικαίως ἠξιώθη ὑπ' αὐτοῦ πιστευθῆναι τοὺς οἴακας, καὶ τῆς λογικῆς τοῦ Χριστοῦ ποίμνης ποιμὴν ἄρι-

(1) Β. Ν. Πᾶσαν γὰρ φάλαγγα δαιμόνων ἐξαφανίσας (2) Β. Ν. αὐτῶν. (3) Β. Ν. ἁγιωσύνης. (4) Β. Ν. ἐνάρετον.

(5) Ἡ Τριμυθοῦς εἶναι μεσόγειος πόλις τῆς Κύπρου, περὶ τὸ 1 ½ μίλιον ἀπέχουσα τῆς Λάρνακος (Κιτίου) εἰς τὰ ΜΑ τῆς Κύπρου. Στέφανος ὁ Βυζάντιος τὴν ὀνομάζει *Τρεμιθοῦντα*, ἀπὸ τῶν ἐκεῖ φυομένων *τερμίνθων* κληθεῖσαν, ὡς εἰκάζει. Κωνσταντῖνος ὁ Πορφυρογέννητος τὴν γράφει *Τρίμυθον*, καὶ τὴν συγκαταλέγει μεταξὺ τῶν μεγάλων τῆς νήσου πόλεων. Δὲν φαίνεται ὅμως νὰ ἦτο τόσον μεγάλη, διότι οὔτε οἱ Βυζαντινοὶ ἀναφέρουσί τι σπουδαῖον περὶ αὐτῆς, οὐδὲ τὰ νῦν σωζόμενα ἐλάχιστα ἐρείπια βεβαιοῦσι τοῦτο. Κατεστράφη δὲ, ὡς ἀναφέρεται, ὑπὸ Ριχάρδου τοῦ Λεοντοκάρδου τῷ 1091 μ. Χ. Νῦν εἶναι χωρίον ἀσήμαντον, καλούμενον ὑπὸ τῶν κατοίκων Τριμηθουσιά, καὶ κατοικούμενον ὑπὸ 25 περίπου οἰκογενειῶν, χριστιανῶν καὶ Τούρκων. Ἐκεῖ ὑπάρχει καὶ μικρὰ μονὴ τοῦ ἁγ. Σπυρίδωνος ἄνευ καλογήρων.

Ἡ δὲ ἐν τῇ Ἀκολουθίᾳ καὶ τῷ Βίῳ τοῦ Ἁγίου πολλάκις ἀναφερομένη *Κωνσταντία* εἶναι ἡ παρὰ τὸν κόλπον τῆς Ἀμμοχώστου ἀρχαία *Σαλαμίς*, ἥτις ἐπὶ τοῦ Μ. Κωνσταντίνου, σεισμοῦ μεγάλου ἐν τῇ νήσῳ συμβάντος, καταπεσοῦσα, πάλιν ὑπ' αὐτοῦ ἀνηγέρθη καὶ ἐκ τοῦ ὀνόματος αὐτοῦ *Κωνσταντία* μετωνομάσθη. Ἦτο ἐν τῇ ἀρχαιότητι ἡ πρώτη καὶ μεγίστη τῆς νήσου πόλις καὶ ἕδρα τῶν βασιλέων τῆς Κύπρου καὶ ἐπὶ τῶν ρωμαϊκῶν καὶ βυζαντινῶν χρόνων ἕδρα Ἀρχιεπισκόπου, εἰς ὃν διοικητικῶς ὑπήγετο καὶ ἡ ἐπισκοπὴ Τριμυθοῦντος.— Σπ. Παπαγ.



στος καὶ ἀρχιερεὺς δόκιμος ἀνεδείχθη ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ Μεγάλου καὶ πιστοτάτου καὶ πρώτου χριστιανῶν (1) βασιλέως εὐσεβοῦς καὶ φιλοχρίστου, προσφέρων Θεῷ (2) τὴν ἀναίμακτον θυσίαν ὑπὲρ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Τοιούτους γὰρ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Φησὶ γὰρ ὁ Κύριος ἐν τοῖς ἁγίοις αὐτοῦ εὐαγγελίοις πρὸς τὴν Σαμαρίτιδα· «Πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.» Πνευματικὸς γὰρ ἤδη διὰ τῆς ἀπαθείας, ἧς ἐκτήσατο, διὰ τῆς ἁγίας προσευχῆς (3) γεγονὼς ψυχὰς πιστεύεται λογικὰς καὶ πνευματικάς, καὶ (4) τῷ Θεῷ προσφέρων θυσίας ἐπὶ τῆς γῆς καὶ κατὰ πρόσωπον τοῦ θυσιαστηρίου τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας παριστάμενος, καὶ πρὸς τὸν θρόνον τοῦ Θεοῦ συνεχῶς ἁρπαζόμενος καὶ παριστάμενος (5) αὐτῷ ἀμέμπτως τὴν ἀναίμακτον θυσίαν τοῦ ἁγίου σώματος καὶ αἵματος τοῦ μονογενοῦς αὐτοῦ καὶ υἱοῦ Θεοῦ ἡμῶν προσέφερε, καὶ τῆς ἁγίας ταύτης καὶ φοβερᾶς λειτουργίας τὴν πληροφορίαν παρὰ Θεοῦ λαμβάνων, καὶ γινώσκων ὅτι ἀληθῶς προσεδέχθη ἡ λογικὴ αὐτοῦ θυσία ὑπὸ τοῦ Θεοῦ καὶ Πατρός, καὶ ὅτι ἅπερ ᾐτήσατο τὸν Θεὸν ὑπὲρ τοῦ λαοῦ ἔλαβε, κατήρχετο φέρων τὰ ἀγαθὰ τὰ δοθέντα αὐτῷ ἐκ τῆς ἄνω Ἱερουσαλὴμ καὶ διαδιδοὺς (7) τῇ ἀνθρωπότητι ὡς καλὸς καὶ πιστὸς οἰκονόμος τῶν τοῦ Θεοῦ δωρεῶν πᾶσι τοῖς δεομένοις παρεῖχε. Βαβαὶ τῆς τοῦ Θεοῦ ἀγάπης! βαβαὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας! βαβαὶ τῆς τοῦ Θεοῦ ἀγάπης καὶ ἀνεικάστου μακροθυμίας, τῆς ἀεὶ τὸ ἀνθρώπινον γένος πλουτούσης! οἷα δωρεῖται χάριτι (8) τοῖς ἀνθρώποις ὁ φιλάνθρωπος καὶ ἐλεήμων Κύριος! Διὸ παρακαλῶ πάντας τοὺς ἐντυγχάνοντας πιστῶς καὶ

(1) Β. Ν. Τῶν χριστιανῶν. (2) Β.Ν. φέρων τῷ Θεῷ. (3) Β.Ν. διὰ τῆς προσευχῆς (4) Β. Ν. ὁ *καὶ* παραλείπεται. (5) Β.Ν. ἀπὸ τοῦ, καὶ πρὸς τὸν θρόνον, μέχρι τοῦ, παριστάμενος, παραλείπεται (6) Β.Ν. παραλείπεται (7) Β.Ν. διδοὺς (8) Β.Ν. ἀπὸ τοῦ *βαβαί*, μέχρι τοῦ, χάριτι, ἔχει ὡς ἑξῆς «Βαβαὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας! βαβαὶ τῆς ἀνεικάστου καὶ ἀνεξιχνιάστου καὶ ἀμετρήτου ἀγάπης τῆς ἀεὶ τὸ ἀνθρώπινον γένος πλουτούσης! Οἵας δωρεῖται χάριτας».

ἀνενδοιάστως ἀναγινώσκειν, καὶ πιστεύοντας τὰ τῆς πίστεως ἔργα κατεργάσασθαι(1)· καὶ μηδεὶς ἀπιστήσῃ τῷδε τῷ συγγράμματι. Φειδόμενος γὰρ τῆς τῶν πολλῶν ἀσθενείας ἐπέσχων ἐμαυτὸν τὴν τοσαύτην τοῦ ἁγίου πατρὸς ἡμῶν (2) χάριν καὶ δόξαν διηγήσασθαι διὰ τοὺς ἀσθενεστέρους, ὡς εἴρηται (3). Εἰ δέ τις θέλει μαθεῖν, εἰ ταῦτα ἀληθῆ εἰσίν, ἔργῳ τὴν πληροφορίαν λήψεται· ἀπροσωπόληπτος γὰρ ὁ Χριστὸς (4)· διὸ καὶ πᾶσι (5) τοῖς προσερχομένοις αὐτῷ ἐν ἀληθείᾳ κατὰ ἀναλογίαν τοῦ ἔργου τῶν ἐντολῶν αὐτοῦ καὶ τὴν ἐμφάνειαν (6) τῶν δωρεῶν τοῦ ἁγίου πνεύματος δωρεῖται. Ὥσπερ γὰρ ἐργάτης ἀληθινὸς ἀκόρεστος τῶν ἁγίων τοῦ Θεοῦ ἐντολῶν διὰ τῶν (7) οἰκείων πόνων ὁ ὅσιος ἀπεδείχθη. Διὸ καὶ τῶν δωρεῶν τοῦ ἁγίου πνεύματος ἠξιώθη πλουσίως, διὰ τῆς πολλῆς αὐτοῦ ἐν ἀκακίᾳ ταπεινώσεως (8) καὶ τῆς πρὸς αὐτοῦ ἀληθινῆς καὶ ἀσχηματίστου σχολῆς, ἀκούσας τῆς κυριακῆς φωνῆς, τῆς λεγούσης, «γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί»· διὸ τὴν (9) θείαν φρόνησιν ἐν πολλῇ ἀκακίᾳ κτησάμενος τοιούτων ἠξιώθη δωρεῶν ὑπὸ τοῦ Θεοῦ ἐν μετοχῇ γενέσθαι.

Κεφ. γ΄. Μετὰ τὴν (10) τῆς ἐπισκοπῆς τῆς Τριμυθουντέων (11) πόλεως ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας τοῦ ἁγίου καὶ ὁσίου Πατρὸς ἡμῶν Σπυρίδωνος προχείρισιν, ἀβροχία γέγονε μεγάλη, καὶ λοιπὸν λιμὸς (12) ἐκ τούτου προσεδοκᾶτο ἐν τῇ Κυπρίων χώρᾳ. Θεωρήσας οὖν ὁ συμπαθέστατος τοῦ Θεοῦ ἀρχιερεὺς οὕτως τὴν γῆν ξηρανθεῖσαν ἀπὸ τῆς ἀνομβρίας, τῇ πρὸς τὸν Θεὸν ἑαυτοῦ παρρησίᾳ θαρρῶν ᾐτήσατο ἀδιστάκτως τὸν πάντων ποιητὴν καὶ δεσπότην μὴ παριδεῖν (13) τὴν ἀνθρωπότητα, ἀλλ' ἐλεῆσαι καὶ ἐπισκέψασθαι τὴν γῆν ἐν τῷ πλήθει τῶν οἰκτειρμῶν

(1) B.N. Κατεργάζεσθαι (2) B.N. τοῦ ἁγίου ἡμῶν (3) B.N. τὸ ὡς *εἴρηται* παραλείπεται (4) B. N. Θεὸς (5) B.N. διὸ πᾶσι (6) B. N. καὶ τὴν ἐμφάνειαν αὐτοῦ κατὰ τοσοῦτον (7) B. N. ἐκ τῶν (8) B. N. *διὰ τῆς πολλῆς*, μέχρι... *ταπεινώσεως*, λείπει (9) καὶ τὴν (10) B. N. μετὰ δ' οὖν τὴν (11) B. N. Τριμυθοῦντος (12) B.N. καὶ λοιμὸς (13) B.N. μὴ ἀπολέσαι καὶ παριδεῖν.



αὐτοῦ, καὶ τὴν εὐλογίαν αὐτοῦ διὰ τῶν ὑετῶν ἀποστεῖλαι πρὸς καρποφορίαν τῶν γεννημάτων τῆς γῆς. Ὁ δὲ ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐτὸν (1) κατὰ τὸ προφητικὸν λόγιον, τὸ φάσκον· «Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου ὁ Θεὸς τῆς δικαιοσύνης μου», ἔτι τοῦ λόγου τῆς προσευχῆς ἐν χείλισιν ὄντος τοῦ δικαίου ἐκ ταπεινῆς καρδίας προσευχομένου, εἰσήκουσεν αὐτοῦ, καὶ εὐθέως ὁ οὐρανὸς νεφελῶν ἐπληρώθη, νεύματι καὶ κελεύσει τοῦ Χριστοῦ. Καὶ ὁ ὄμβρος ἐξεχύθη πολύς, ὥστε ἐπὶ πλείους ἡμέρας ῥαγδαίως τὸν ὑετὸν ἐπὶ τῆς γῆς καταφέρεσθαι. Ἐπὶ πλεῖον δὲ τοῦ ὑετοῦ σφοδρῶς καταφερομένου οὕτως (2) τοῦ Θεοῦ οἰκονομήσαντος πρὸς τιμὴν τοῦ ἰδίου ἀληθῶς καὶ γνησίου δούλου Σπυρίδωνος (3), πάλιν ὁ ἅγιος ᾐτήσατο τὸν Δεσπότην τὸν ἑαυτοῦ ἀναστεῖλαι ὑετόν (4). Ὁ δὲ Θεὸς πάλιν ἐδόξασε τὸν ἑαυτοῦ θεράποντα ἅμα τῇ πληρώσῃ τῆς προσευχῆς συστεῖλαι (5) καὶ τὴν τῶν ὑδάτων ῥύσιν, διὰ πάντων πιστούμενος τὴν ἐνοῦσαν τῷ δούλῳ αὐτοῦ χάριν.

Κεφ. δ΄. Λιμοῦ ποτε γενομένου ἐν τῇ νήσῳ, οἱ νησιῶται καὶ σιτοκάπηλοι τὰς συμφορὰς τῶν ἀνθρώπων ἐπραγματεύοντο (6). Ἦλθεν οὖν πρὸς ἕνα τούτων γεωργός τις τῆς ἐνορίας τῆς Τριμυθουντέων (7) πόλεως, ὑπάρχων ἐν στενώσει πολλῇ τῶν σωματικῶν χρεῶν καὶ πείνῃ κατεχόμενος, αὐτός τε καὶ πᾶς ὁ οἶκος αὐτοῦ. Ἦν δὲ ὁ τὸν σῖτον ἔχων κτήτωρ αὐτόχθων (8) τῆς πόλεως Τριμυθούντων. Παρεκάλει δὲ ὁ πένης τὸν πλούσιον καὶ σιτοκάπηλον λῦσαι αὐτὸν ἐκ τῆς πείνης. Ὁ δὲ τῷ πόθῳ τοῦ πάθους (9) τῆς φιλαργυρίας ἀσπλαχνίᾳ κρατούμενος, οὐκ ἐπένευσεν ἐλεῆσαι τὸν πένητα(10), ἀλλὰ φησὶ πρὸς αὐτόν· ἄπελθε, φέρε τὸ τίμημα, κἀγώ σοι δίδωμι εἴτε σῖτον, εἴτε κριθήν, εἴτε

(1) B.N. Τῶν φοβουμ. αὐτὸν καὶ ποιούντων ἐν ἀληθείᾳ τὸ θέλημα αὐτοῦ (2) B.N. καὶ οὕτω (3) B. N. τοῦ ἰδίου δούλου ἀληθῶς καὶ γνησίου θεράποντος Σπυρίδωνος. (4) B.N. τὸν ὑετὸν (5) B.N. στείλας (ἴσως, στήσας) (6) B.N. πραγματευόμενοι (sic) (7) B.N. Τριμυθοῦντος (8) B.N. καὶ αὐτόχθων (9) B.N. ἐκ πάθους πόθῳ (10) BN. αἰτοῦντα τὸν πένητα.

ΣΥΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

όσπριον θέλεις (1). Ὁ δὲ πένης ἀποτυχὼν τῆς ἐλπίδος ἔρχεται στένων καὶ κλαίων πρὸς τὸν ἅγιον πατέρα ἡμῶν Σπυρίδωνα, ἀπαγγέλλων αὐτῷ τήν τε ἑαυτοῦ πενίαν καὶ στένωσιν καὶ συμφορὰν καὶ τὴν τοῦ πλουσίου ἀσπλαχνίαν, καὶ ὥσπερ οὐδὲ (2) ἠλέησεν αὐτὸν δεόμενον καὶ πεινῶντα μετὰ τῆς γυναικὸς καὶ τέκνων (3). Ὁ δὲ ἅγιος ἅμα τῇ τοιαύτῃ ἀκοῇ ἀναζωπυρήσας, καὶ τοῦ προφητικοῦ χαρίσματος ἔμπλεως γεγονώς, εἶπε πρὸς τὸν πένητα: Μὴ κλαῖε, μηδὲ στέναζε· ὅτι τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον· αὔριον πληρωθήσεται ὁ οἶκός σου βρωμάτων· καὶ τὸν ἐν χρήσει μὴ θελήσαντά σε (4) συμπαθῆσαι καὶ δοῦναι ὄψει παρακαλοῦντά σε λαβεῖν τὴν χρείαν σου χωρὶς δανείου. Ἀκούων δὲ ὁ πένης τοὺς λόγους τοῦ σεβασμίου πατρός, ἀπὸ τῆς θλίψεως καὶ λύπης (5) καὶ τῶν δακρύων ἐνόμιζε τὸν ἅγιον παραμυθίας χάριν ταῦτα αὐτὸν λέγειν. Ταῦτα δὲ τοῦ ἁγίου εἰπόντος καὶ τοῦ πένητος στυγνοῦ οἴκαδε ἀναχωρήσαντος, νυκτὸς ἐπιλαβομένης, πνεύματι Θεοῦ ὄμβρος ἱκανὸς ἐξεχύθη ἐπὶ τῆς γῆς, ὥστε ἀπὸ τῆς τῶν ὑδάτων πλημμύρας πεσεῖν τὴν ἀποθήκην, τὴν παρά τισιν *ὡρεῖον* (6) καλουμένην, ἐν ᾧ ἦν τοῦ ἀπλήστου ἐκείνου καὶ ἀνηλεοῦς καὶ φυλαργύρου ὅ,τε σῖτος καὶ ἡ κριθὴ καὶ τὰ λοιπὰ ὄσπρια, (ἐπεπλήρωτο γὰρ ὁ τοιοῦτος οἶκος τῶν τοιούτων εἰδῶν), καὶ ἦλθεν ἐπ' αὐτὸν ἡ παρὰ τῷ Σολομῶντι κειμένη κατάρα, ἡ λέγουσα, «ὁ συνέχων σῖτον δημοκατάρατος». Ὡς δὲ ἡμέρα ἐγένετο, τῶν μὲν πενήτων ὁ λιμὸς τέλος εἶχεν, ὁ δ' ἀνηλεὴς πλούσιος καὶ φιλάργυρος δρομαίως ὠλοφύρετο καὶ διέτρεχε σὺν τοῖς ἰδίοις αὐτοῦ δι' ὅλης τῆς πόλεως προτρεπόμενος καὶ παρακαλῶν πάντας τοὺς παρατυγχάνοντας βοηθῆσαι αὐτῷ, ὅπως μὴ ἐκ πλουσίου πένης γένηται. Οἱ δὲ πτωχοὶ κατὰ τὴν ὁδὸν τοῦ τε σίτου καὶ τῶν λοιπῶν εἰδῶν ἕκαστος (7) οὐ μόνον τὸ αὔταρκες ἀλλὰ καὶ ὑπὲρ τὴν χρείαν συνήγαγον ἑαυτοῖς. Ὁ

(1) B.N. Θέλεις καὶ ὅσον χρήζεις (2) B.N. ὡς οὐκ (3) B.N. καὶ παιδίων (4) B.N. σοὶ (5) B. N. τῆς στενώσεως (6) B.N. *Ὅριον* (7) B.N. ἕκαστον.



δὲ πένης ἐκεῖνος, ὁ τῇ ἑσπέρᾳ παρακαλῶν τὸν ἄσπλαχνον ἐκεῖνον πλούσιον ἐλεηθῆναι καὶ μὴ ἐλεηθεὶς ἐξ αὐτοῦ, ἀκούσας ἦλθε θεάσασθαι τὸ γεγονός. Ὅστις αὐτοψεὶ τὴν τοῦ δωματίου πτῶσιν θεασάμενος, τοῦ μὲν ἁγίου πατρὸς ἐθαύμασε τὴν ἐκ τῆς προγνώσεως προφητείαν, αὐτὸς δὲ πᾶσαν τὴν ἑαυτοῦ χρείαν ἔλαβε σὺν τοῖς λοιποῖς πένησι, καὶ ἐπλήρωσε τῶν τοῦ Θεοῦ ἀγαθῶν τὸν ἑαυτοῦ οἶκον κατὰ τὴν προφητείαν τοῦ σεβασμίου πατρός. Ὁ δὲ φιλάργυρος ἐκεῖνος ὁ σιτοκάπηλος, θεασάμενος τὸν ἑσπέρας αὐτὸν παρακαλοῦντα αὐτόθι ὄντα καὶ θεασάμενον (1) πεσοῦσαν αὐτοῦ τὴν ἀποθήκην ἐκ δικαιοκρισίας Θεοῦ καὶ προφητικῆς ἀποφάσεως (2), προετρέπετο ἀναιδῶς τὸν πένητα λέγων· λάβε οὖν ὅσον (3) χρήζεις καὶ ὑπὲρ οὗ λαμβάνεις καὶ ὁμολογεῖς μόνον, τόκους (4) οὐ λαμβάνω παρὰ σοῦ. Ὁ δὲ πένης τοῦτον μυκτηρίσας ἐπὶ τῇ τοσαύτῃ ἀναισθησίᾳ καὶ ἀναισχυντίᾳ, τὸ ἑαυτοῦ ταμεῖον τῶν ἐκ δικαιοκρισίας (5) ἀγαθῶν ἐπλήρωσε, παρὰ πᾶσαν ἐλπίδα διὰ τῆς προφητικῆς τοῦ δικαίου φωνῆς τοῖς πένησιν ἑτοιμοσθέντων, πρὸς παιδείαν ἐκείνου τοῦ πλεονέκτου, ὅπως τῇ τοιαύτῃ ἀπροσδοκήτῳ παιδείᾳ μετανοήσας, ἑαυτοῦ λοιπὸν γένηται κρεῖττον (6)· ἀλλ' οὐδὲ ἐκ τούτου διωρθώθη ὁ πλεονέκτης, ἀλλ' ἔμεινεν ὁ αὐτὸς (7), ὑπὸ τῆς φιλαργυρίας, παρὰ φύσιν πάθους νικώμενος.

Κεφ. ε'. Ἄλλου γάρ τινος πένητος, γνωστοῦ τε καὶ φίλου τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος, ἀπελθόντος πρὸς ἐκεῖνον τὸν ἀνελεήμονα κτήτορα, οὗτινος τὸ πρὶν ἐπεπτώκει ἡ ἀποθήκη καὶ παρακαλοῦντος ἐν χρήσει δοθῆναι αὐτῷ παρ' αὐτοῦ σῖτον πρὸς διατροφὴν τοῦ οἴκου αὐτοῦ καὶ κατασπορὰν τῆς γῆς, καὶ ὁμολογήσαντος αὐτῷ εἰς τὸν θερισμὸν σὺν τόκῳ τὸ διδόμενον εὐγνωμόνως μετὰ πλείστης εὐχαριστίας ἀποδιδόναι (8) οὗτος τῷ φίλτρῳ τῆς φιλαργυρίας ἀκορέστῳ πάθει κρατούμενος, οὐκ ἠθέλησε δοῦναι καὶ ἐλεῆσαι τὸν πένητα, εἰμὴ πρῶτον δώσῃ

(1) B.N. Θεώμενον (2) B.N. καὶ προφητείας τοῦ σεβασμίου πατρὸς ἡμῶν (3) B.N. νῦν ὅσου (4) τόκον (6) BN δικαιοκρισίας τοῦ Θεοῦ (7) BN κρείττων (8) BN. ὁ αὐτὸς ὤν. (8) BN. διδόναι.

αὐτῷ ἐνέχυρον, ὅπερ τι ὡς ἔριδος ἀπαλλαγὴν *ἀμάχην* (1) καλοῦσιν. Ὁ δὲ πένης, ταῦτα παρὰ τοῦ ἀνηλεοῦς πλεονέκτου ἀκούσας, ἔρχεται (2) πρὸς τὸν δοῦλον τοῦ Θεοῦ καὶ ἀναγγέλλει αὐτῷ ταῦτα μετὰ στεναγμοῦ καὶ χύσεως δακρύων πολλῶν. Ὁ δὲ πάσης συμπαθείας γέμων (3) ἀρχιερεὺς λέγει πρὸς τὸν πτωχόν (4)· μὴ κλαῖε, χριστιανὸς ὤν, τέκνον, ἀλλὰ μᾶλλον ἔλπισον ἐπὶ τὸν Θεὸν, καὶ αὐτὸς ποιήσει τὸ ἔλεος αὐτοῦ μετὰ σοῦ. Ἐγὼ γὰρ ἐλπίζω, ὅτι κἂν πένης ὑπάρχω (5) ἀλλ' οὖν ἔχω (6) δεσπότην πλούσιον καὶ ἀγαθὸν Θεὸν προφθάνοντα ταῖς δωρεαῖς τὰς αἰτήσεις τῶν ἐν ἀληθείᾳ ἀγαπώντων αὐτόν. Ὁ δὲ πτωχὸς ταῦτα ἀκούσας παρὰ τοῦ ἁγίου, τῇ (7) εἰς αὐτὸν ἀδιστάκτῳ πίστει κραταιωθεὶς πᾶσαν λύπην καὶ μέριμναν ἀφ' ἑαυτοῦ ἀποτιναξάμενος, ἀνεχώρησεν εἰς τὸν οἶκον αὐτοῦ, τῇ ἐλπίδι χαίρων, καὶ τὸν λόγον τοῦ ἁγίου ἀντὶ πάντων ἔχων (8). Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ ἀπέρχεται ὁ ταπεινόφρων ἀληθῶς οὗτος ἀρχιερεὺς (9) εἰς τὸν οἶκον τοῦ πτωχοῦ καὶ φίλου αὐτοῦ, χρυσοῦν κόσμιον πάνυ ὡραῖον τῇ θέᾳ καὶ πολύτιμον ἐν χερσὶν ἐπιφερόμενος, ὡς δῆθεν παρά τινος φίλου γνησίου καὶ πλουσίου τοῦτο χρησάμενος, καὶ λέγει αὐτῷ· Δέξαι καὶ δὸς τῷ φιλαργύρῳ ἐκείνῳ ἐνέχυρον καὶ δάνεισαι παρ' αὐτοῦ ὅσον θέλεις (10) σῖτον. Τοῦτο δὲ ὁ πένης λαβὼν παρὰ τοῦ δικαίου πατρὸς τὸ κόσμιον, δρομαίως ἔρχεται (11) πρὸς τὸν σιτοπράτην ἔχων τὸ κόσμιον. Ὅπερ κόσμιον θεασάμενος ἐν ταῖς τοῦ πένητος χερσὶ, καὶ ἀγασθεὶς αὐτοῦ τὴν εὐπρέπειαν, δεξάμενος ἐν ταῖς ἰδίαις χερσί, καὶ θαυμάσας αὐτοῦ τὴν θέαν καὶ τὸ τῆς φιλαργυρίας αὐτοῦ πάθος πληρώσας (12) λέγει τῷ πτωχῷ· Λάβε ὅσον χρήζει καὶ μηδὲν λεί-

(1) Β.Ν. Ὅπερ τινὲς *ἀμαχήνην* καλοῦσιν (2) Β.Ν. ἀπέρχεται (3) Β. Ν. πεπληρωμένος (4) Β. Ν. πρὸς αὐτὸν (5) Β. Ν. ἐγὼ γὰρ οὕτως ἐλπίζω, καὶ γὰρ πένης ὑπάρχω (6) Β. Ν. ἀλλ' ἔχω (7) Β.Ν. καὶ τῇ (8) Β. Ν. ἔχων εἰσενέγκας (9) Β. Ν. καὶ εὔσπλαγχνος ἀρχιερεὺς (10) Β. Ν. θέλει δοῦναί σοι (11) Β. Ν. ἀπέρχεται χαίρων (12) Β. Ν. χερσὶ, καὶ θαυμάσας αὐτοῦ τὴν εὐπρέπειαν καὶ δεξάμενος ἐν ταῖς ἰδίαις χερσὶ καὶ ἀγασθεὶς τὴν τούτου θέαν καὶ τὸ τῆς φιλαργυρίας πάθος πληροφορήσας.



ψει τῶν (1) πρὸς τὴν χρείαν τῷ οἴκῳ σου μηδὲ τοῖς φίλοις σου. Σὺ γὰρ ἀπὸ τοῦ νῦν φίλος μου ὑπάρχεις καὶ πάντων τῶν ἐν τῷ οἴκῳ μου δεσπότης. Ὁ δὲ πένης, τῷ Θεῷ εὐχαριστήσας καὶ τῷ ἁγίῳ, λαβὼν (2) τὰ πρὸς τὴν χρείαν τοῦ οἴκου αὐτοῦ (3) καὶ τῆς κατασπορᾶς, ἐπορεύθη οἴκαδε. Κατέσπειρεν οὖν τὰς ἑαυτοῦ ἀρούρας, τήν τε τοῦ Θεοῦ βοήθειαν καὶ τὰς τοῦ ἁγίου πατρὸς εὐχὰς ἐπικαλούμενος (4). Τῇ (5) φιλανθρώπῳ δὲ τοῦ Θεοῦ ἐπισκοπῇ, διὰ τῶν τοῦ ἁγίου δεήσεων, εὐφόρησεν ἡ χώρα τοῦ πένητος καὶ πολλαπλάσιον τὸν καρπὸν (6) ἀπέδωκεν. Εὐλογία δὲ Θεοῦ (7) ἐγένετο ἐν τοῖς ἑαυτοῦ (8) γεννήμασι, καὶ ταῦτα ἐπληθύνθη (9) σφόδρα· ἐξ ὧν περ (10) γεννημάτων διαπωλήσας καὶ τὰς τιμὰς σὺν τοῖς τόκοις ἐνεχρήσατο συναγαγών, ἀπέρχεται (11) πρὸς τὸν δανείσαντα. Ὁ δὲ λαβὼν τὸ χρέος ἀπέδωκε τὸ ἐνέχυρον. Ὅπερ λαβὼν ἤνεγκε πρὸς τὸν ἅγιον ὡς δῆθεν τῷ χρήσαντι δεσπότῃ αὐτοῦ ἀποδοθῆναι. Δεξάμενος δὲ ὁ σημειοφόρος πατὴρ ἡμῶν Σπυρίδων τὸ κόσμιον, εἶπε πρὸς τὸν πένητα (12). Δεῦρο ἀκολούθει μοι, ἀδελφέ, μικρόν (13), καὶ ἀποδώσωμεν τῷ δεσπότῃ, ὅπερ ἐχρησάμεθα παρ' αὐτοῦ, ἵνα καὶ σὺν ἐμοὶ εὐχαριστήσῃς αὐτῷ (14) ἐπὶ τῇ γενομένῃ εἰς σὲ ἐνεργείᾳ (15). Ὁ δὲ ἄνθρωπος τῇ τοῦ ἁγίου πατρὸς (16) εἴξας κελεύσει, ἠκολούθησεν αὐτῷ προθύμως, ἄξιον εἶναι λογισάμενος (17) εὐχαριστῆσαι τῷ δεσπότῃ τῷ τοῦτο χρήσαντι τῷ ἁγίῳ. Ἦν δὲ μικρὸν κηπεῖον τῷ ἁγίῳ πρὸς ὀλίγων λαχάνων παραμυθίαν (18). Ἐλθὼν οὖν (19) πλησίον τῶν φραγμῶν τοῦ κήπου καὶ ἐγγίσας αὐτῷ καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ὁ ἅγιος Σπυρίδων ἐπεκαλεῖτο τὸν Θεὸν εἰς ἐπήκοον τοῦ γεωργοῦ, ἤγουν τοῦ ποτὲ πένητος, λέγων μεγάλῃ τῇ φωνῇ· Κύριε Ἰησοῦ Χριστέ,

(1) Β. Ν. Τὰ (2) Β. Ν. ἀπολαβὼν (3) Β. Ν. τοῦ ἑαυτοῦ οἴκου (4) Β. Ν. ἐπικαλεσάμενος (5) Β. Ν. καὶ τῇ (6) Β. Ν. καρπὸν (7) Β. Ν. τοῦ Θεοῦ (8) Β.Ν. αὐτοῦ (9) Β.Ν. ἐπλήθευσε (10) Β. Ν. γὰρ (11) Β. Ν. καὶ τὰς τιμὰς ὧν ἐχρήσατο σὺν τόκοις συναγαγὼν ἀπέρχεται (12) Β. Ν. τὸν ποτὲ πένητα (13) Β.Ν. ἀκολούθει μοι μικρὸν (14) Β.Ν. τῷ Θεῷ (15) Β.Ν. ὑπ' αὐτοῦ εὐεργεσίᾳ (16) Β.Ν. πατρὸς ἡμῶν (17) Β. Ν. κρίνας (18) Β.Ν. ὑπηρεσίαν (19 ΒΝ. δέ.

ὁ πάντα ποιῶν καὶ μετασκευάζων, ὁ ποιήσας ποτὲ ἐπὶ Μωϋσέως τὴν ῥάβδον ὄφιν κατενώπιον Φαραὼ βασιλέως Αἰγύπτου καὶ τῶν θεραπόντων αὐτοῦ, μετασκεύασον καὶ ποίησον πάλιν (1) τοῦτο τὸ κόσμιον ὡς ἦν ἀπ' ἀρχῆς εἶδος (2) ὄφεως, ἵνα θεάσηται οὗτος ὁ ἄνθρωπος καὶ γνῷ τὴν σὴν φιλανθρωπίαν καὶ εὐεργετικὴν δύναμιν, καὶ μαθὼν ἀναγγείλῃ τοῖς ἄλλοις τὴν πανσθενῆ σου ἰσχὺν καὶ ὅτι σὺ εἶ δημιουργὸς τῶν ἁπάντων καὶ ἐξουσιαστὴς τῶν ὅλων Κύριος, ὅπως μάθῃ ἀκριβῶς τὸ ὑπὸ τοῦ μακαρίου Δαβὶδ ἐν πνεύματι ἁγίῳ περὶ σοῦ εἰρημένον, «πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν». Ὁ δὲ Κύριος παραχρῆμα εἰσήκουσε τοῦ ἰδίου θεράποντος, καὶ πάλιν μετεποίησε τὸ χρύσεον ἀληθῶς ἐκεῖνο κόσμιον εἰς ἑρπετὸν ἀληθῶς ὄφιν. Τοῦτον γὰρ ἦν ὁ ἅγιος τοῦ ὄφιν τῇ ἐπινεύσει τοῦ Θεοῦ κρατήσας καὶ δι' εὐχῆς εἰς κόσμιον (3) μεταβαλών. Ὁ δὲ ἀγροῖκος ἐκεῖνος γεωργός, θεασάμενος τὸ τοιοῦτον παράδοξον καὶ παρὰ πᾶσαν ἐλπίδα ἀνθρωπίνην σημεῖον γενόμενον, καὶ σύντρομος γεγονὼς ἅμα καὶ σύνδακρυς (4) ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ τῷ Θεῷ μετὰ πολλοῦ φόβου καὶ τρόμου εὐχαριστήσας ἐπὶ τῇ τοιαύτῃ (5) παραδόξῳ θέᾳ, πεσὼν ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ, ἄφωνος ἐκ τοῦ φόβου ἐπὶ τῆς γῆς ἐπὶ πολὺ κείμενος καὶ κόνιν (6) τὴν ἑαυτοῦ κεφαλὴν καταπάσας, καὶ ἀνάξιον τῆς τοιαύτης ἑαυτὸν ἀποκαλῶν (7) εὐεργεσίας καὶ θεωρίας· Εἶτα μετὰ τὴν τοῦ Θεοῦ προσκύνησιν ἀναστὰς προσέπιπτε καὶ τοῖς τοῦ ἁγίου καὶ θαυματουργοῦ Σπυρίδωνος ποσί (8), καὶ τούτους κατεῖχε καὶ εὐχαριστῶν ἔλεγε τὰ τοῦ ἁγίου κατορθώματα μεγάλῃ τῇ φωνῇ κράζων καὶ λέγων· Μεγάλα τὰ θαυμάσια τοῦ Θεοῦ τὰ διὰ σοῦ γενόμενα πάτερ ! μεγάλη ἡ τοῦ φιλανθρώπου Θεοῦ ἀγάπη, ἣν ἐκτήσω διὰ τῆς σῆς καθαρᾶς πολιτείας· οἶδα

(1) Β. Ν. Ποίησον τοῦτο (2) Β. Ν. φυσικὸν εἶδος (3) Β. Ν. κόσμιον χρυσοῦν (4) Β.Ν. σὺν δάκρυσιν (5) Β.Ν. τοσαύτῃ (6) Β.Ν. ὁ *καὶ* λείπει (7) Β.Ν. ἑαυτὸν γινώσκων τῆς τοιαύτης (8) Β.Ν. προσέπιπτε καὶ τοῖς τοῦ ἁγίου ποσὶ καὶ θαυματουργοῦ πατρὸς ἡμῶν Σπυρίδωνος.



γάρ σου τὰ κατορθώματα· οἶδα τοὺς ἄρτους· οἶδα τὰ παντοῖα ἐδέσματα τῶν ἐπιξενουμένων καὶ παροδιτῶν (1) ἅτινα ἐν τῷ σῷ οἴκῳ ἐπισυνάγων ἐδίδου (2) εἰς διατροφήν· πεῖραν ἔχω τοῦ νιπτῆρος, ἐν ᾧ ἀνέπαυες τὰ μέλη τῶν κεκμηκότων (3). Ταῦτα ἐδυσώπησαν νῦν τὸν Θεὸν (4) ὑπὲρ ἐμοῦ τοῦ ποιῆσαί σε (5) καὶ μετασκευάσαι τὸν ὄφιν εἰς χρυσοῦν κόσμιον· ὅπως σὲ μὲν ἅγιε πάτερ (6) δοξάσῃ ὁ δοξάζων τοὺς δοξάζοντας αὐτὸν Θεός, ἐμὲ δὲ καὶ τοὺς ἐμοὺς θρέψει, ὁ τὰ πετεινὰ τρέφων τοῦ οὐρανοῦ». Ταῦτα οὖν λέγοντος τοῦ ἀγροίκου ἐπὶ πολλὰς τὰς ὥρας καὶ τοὺς πόδας τοῦ ἁγίου κατέχοντος καὶ καταφιλοῦντος, ὁ ἀληθῶς μισόδοξος καὶ ταπεινόφρων ἅγιος Πατὴρ ἡμῶν ἐδυσφόρει μεγάλως φεύγων πᾶσαν δόξαν ἀνθρωπίνην, τὴν δὲ δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ ζητῶν, καὶ ἔλεγε πρὸς τὸν ἄνθρωπον· Τί τοῦτο ποιεῖς ἄνθρωπε ; ἵνα τί μοι τὸ βάρος τοῦτο προσφέρεις, ἁμαρτωλοῦ ἀνθρώπου πόδας κρατῶν; Μόνῳ τῷ Θεῷ πρέπει ἡ προσκύνησις (7)· αὐτὸν ἀμφότεροι, ἐγώ τε καὶ σύ, προσκυνήσωμεν ἐπὶ τῇ τοσαύτῃ καὶ τοιαύτῃ συγκαταβάσει (8) καὶ θαυματουργίᾳ· αὐτῷ γὰρ ἀληθῶς πρέπει δόξα καὶ ἡ προσκύνησις. Ταῦτα δὲ τοῦ ἁγίου εἰπόντος, ὁ ὄφις ὁ χρυσοῦς (9) καὶ πάλιν ἀληθινὸς ὄφις γεγονώς, ὡς εἶπον, εἰσῆλθεν εἰς τὸν τοῦ κήπου φραγμόν, τῷ ἑαυτοῦ ἐνδύνας φωλεῷ.

Κεφ. ς΄. Ἦν δέ τις ἄλλος (10) φίλος τοῦ δικαίου (11) ὅστις ἐκ συκοφαντίας (12) ὑπὸ τοῦ ἄρχοντος τῆς ἐπαρχίας ἐπί τινι ἐγκλήματι κατασχεθείς, ἐμφρούριος γεγονώς, ἔμελλε ψήφῳ θανατηφόρῳ ὑπὸ τοῦ ἡγεμόνος παραδοθῆναι, ὡς ἀληθινῆς τῆς συκοφαντίας ἀναδειχθείσης. Ὁ δὲ ἅγιος τοῦ Θεοῦ ἄνθρωπος, τοῦτο γνοὺς καὶ θεόθεν περὶ τούτου πληροφορηθείς, δρομαῖος ἀπῆλθεν (13) ἀπὸ τῆς ἑαυτοῦ πόλεως Τριμυθούντων (14) ἐπὶ Κωνσταν-

(1) Β.Ν. Τὰ τοῖς ἐπιξενουμένοις καὶ παροδίταις (2) Β.Ν. ἐδίδως (3) Β.Ν. εὐκράτως τὰ μέλη τῶν κεκμηκότων ἐθεράπευες (4) Β.Ν. ἐδυσώπησαν τὸν Θεὸν (5) Β.Ν. ποιῆσαι (6) Β.Ν. ἅγιε πάτερ (7) Β.Ν. πρέπει προσκύνησις (8) Β.Ν. συγκατανεύσει (9) Β.Ν. καὶ χρυσὸς (10) Β.Ν. ἕτερος (11) Β.Ν. τοῦ ἁγίου (12) Β.Ν. ἐσυκοφαντήθη (13) Β.Ν. ἡ λέξ. λείπει. (14) ΒΝ. Τριμυθοῦντος.

τίαν(1) πρὸς τὸν ἡγεμόνα(2) ἐπὶ τὸ ῥύσασθαι αὐτὸν(3) ἀπὸ τῆς συκοφαντίας, ὥσπερ ἔκ τινος λύκου ἀρνίον ἀναίτιον ὄντα καὶ πιστὸν αὐτοῦ φίλον (4). Ὁδοιπορῶν δὲ ἦλθεν (5) ἐπὶ ἕνα τῶν κατὰ τὴν ὁδῶν ποταμῶν (6), καὶ εὗρε τοῦτον ἀδιάβατον ἐκ τοῦ πλήθους τῶν ὑδάτων, καὶ μηδένα τῶν ὁδοιπόρων δυνάμενον παρελθεῖν διὰ τὸ πλῆθος τῶν ὑδάτων (7) Σπεύδων οὖν (8) ὁ ἅγιος πρὶν ἢ παθεῖν τὸν συκοφαντούμενον φίλον ὅπως ῥύσεται αὐτὸν ἐκ τῶν τοῦ ἄρχοντος χειρῶν καὶ τοῦ ἐκ συκοφαντίας, ὡς εἴρηται,(9)ἀρτηθέντος αὐτῷ θανάτου ὑπὸ τῶν πονηρῶν ἀνθρώπων, εἶπεν οὖν (10) ἐπὶ πάντων τῶν συμπαρόντων αὐτῷ πρὸς τὰ ὕδατα· «τάδε λέγει Κύριος· ἐπισχεθήτω ἡ ῥύσις τῶν ὑδάτων, ὅπως ὁ συκοφαντούμενος(11)τοῦ ἐξ ἀδικίας θανάτου ῥυσθῇ, ὑπὲρ οὗ καὶ τὴν δέησίν μου τῷ δεσπότῃ τῶν ὅλων(12)προσήνεγκα». Ταῦτα εἰπόντος τοῦ ἁγίου παραχρῆμα ἔστη(13)τῶν ὑδάτων τοῦ ποταμοῦ ἡ ῥύσις. Ὥσπερ γάρ ποτε (14) ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ ἐπὶ τῇ διαβάσει τῆς τοῦ Θεοῦ κιβωτοῦ καὶ τῶν υἱῶν τοῦ Ἰσραὴλ ἐν τῇ ἐξόδῳ αὐτῶν τῇ ἐξ Αἰγύπτου, οὕτως ἔστη τὰ ὕδατα καταβαίνοντα ἄνωθεν ἀναχαιτισθέντα (15) ἐκ τῆς πρώτης διοδεύσεως καὶ εἰς τὴν εὐθείαν τοῦ ποταμοῦ δίοδον ἐκβαίνοντα (16), ὥστε πολλάκις μὴ (17) γενέσθαι ἐπιβλαβῆ τὴν ῥύσιν. Οἵ τε γὰρ παριόντες ἀκωλύτως τὴν ὁδὸν ἤνυον, τάτε γεννήματα καὶ τοὺς σύνεγγυς τόπους οὐκέτι ἡ τῶν ὑδάτων πλημμύρα ἔβλαπτεν. Οὕτως οὖν διέβη ὁ σημειοφόρος οὗτος καὶ Χριστοῦ δοῦλος Σπυρίδων καὶ πάντες οἱ σὺν αὐτῷ. Οἱ δὲ συνευρεθέντες τῷ ἁγίῳ θεασάμενοι ὅτι διὰ τῆς προστάξεως αὐτοῦ τὸ τοιοῦτον θαῦμα γέγονε, τοῦ δικαίου προδραμόντες καὶ τὴν πόλιν Κων-

(1) Β. Ν. Κωνσταντιαίων (2) Β. Ν. ἡγεμόνα ἤρχετο (3) Β.Ν. τὸν ἑαυτοῦ φίλον (4) Β. Ν. καὶ πιστὸν αὐτοῦ φίλον, λείπει (5) Β.Ν. ἦλθεν ἐπί τινα τόπον (6) Β. Ν. ποταμὸν (7) Β. Ν. ῥευμάτων (8) Β. Ν. σπεύδων δὲ (9) Β. Ν. ὡς εἴρ. λείπει (10)Β.Ν. εἶπεν (11) Β.Ν. συκοφαντούμενος φίλος (12) Β.Ν. δεσπότῃ τῶν ὅλων Χριστῷ (13) Β.Ν. ἔστη λείπει (14) Β.Ν. γὰρ τότε (15) Β. Ν. ἀνασχετισθέντα (ἴσως ἀνασχεθέντα) (16) Β. Ν. ἐκκλίναντα (17) Β. Ν. λοιπὸν μηκέτι.



σταντίαν καταλαβόντες πᾶσιν ἀνήγγειλαν τὰ τοῦ Θεοῦ θαυμάσια τὰ διὰ τοῦ δούλου αὐτοῦ Σπυρίδωνος γινόμενα (1). Τοῦτο γνοὺς ὁ ἡγεμὼν καὶ τὴν διάνοιαν ἐκπλαγεὶς ἐπὶ τῇ τοιαύτῃ αὐτοῦ καὶ τῇ τοσαύτῃ πρὸς τὸν Θεὸν παρρησίᾳ καὶ φόβῳ μεγάλῳ συσχεθεὶς (2), ἐκέλευσε παραχρῆμα τὸν τοῦ ἁγίου φίλον τῶν δεσμῶν ἀπολυθῆναι, τοῦτο εἰπὼν πρὸς τὸν ἅγιον· Λάβε, πάτερ, τὸν σὸν φίλον· οὐδὲ γάρ ἐστιν ἁμαρτία σοί, τῷ τοιαύτην χάριν Θεοῦ ἔχοντι, κατάδικον χαρίσασθαι ὑπὲρ νόμον. Τῇ γὰρ τοῦ ἁγίου πνεύματος ἐν καρδίᾳ σου ἐνεργούσῃ δυνάμει ἐν τοῖς χείλεσι τὸν τοῦ Θεοῦ νόμον φορῶν, Χριστὸν ἔχεις διὰ στόματος λαλοῦντα (3)· ἀλλὰ πάτερ ἅγιε, μετάδος μοι τῶν σῶν δωρεῶν καὶ εὐεργεσιῶν διὰ τῆς σῆς προσευχῆς (4), ἵνα εὖ μοι γένηται καὶ σωθῶ ταῖς σαῖς πρεσβείαις. Εὐξάμενος δὲ ὁ ἅγιος τῷ ἡγεμόνι καὶ ἀσπασάμενος αὐτόν, ἐπορεύθη σὺν τῷ αὐτοῦ φίλῳ εἰς τὰ ἴδια.

Κεφ. ζ΄. Παρέβαλέ ποτε ὁ ἅγιος Πατὴρ ἡμῶν Σπυρίδων τινὶ φίλῳ αὐτοῦ καὶ τῆς λογικῆς καὶ χριστιανικῆς αὐτοῦ ποίμνης προβάτῳ (5), ὅς τις διὰ τῆς τοῦ ἁγίου διδασκαλίας ἐποίει ὅπερ (6) παρ᾽ αὐτοῦ ἔμαθεν. Οὗτος (7) γὰρ ὁ ἅγιος Σπυρίδων ἔσπευδεν ἑαυτὸν ἀεὶ τύπον καὶ ὑπογραμμὸν πάσῃ τῇ ἐμπιστευθείσῃ αὐτῷ λογικῇ ποίμνῃ γίνεσθαι τῇ τοῦ Θεοῦ λόγου σοφίᾳ διδάσκων τὰ τέκνα αὐτοῦ καὶ τῇ ἀνυπερβλήτῳ ταπεινοφροσύνῃ (8). Ὅπερ γὰρ (9) ἐθεάσατο καὶ παρέλαβεν ἐκ τοῦ ἀοιδίμου τούτου πατρός, ὁ τούτου μαθητὴς τοῦτο καὶ ἐποίει(10). Λαβὼν οὖν ὕδωρ ἔβαλεν εἰς τὸν νιπτῆρα, ὥστε τοὺς πόδας τοῦ ἁγίου παρουσίᾳ νῖψαι(11). Συνέτρεχον οὖν πάντες νῖψαι τοὺς πόδας αὐτοῦ καὶ

(1) Β. Ν. Γενόμενα (2) Β. Ν. συνεχόμενος (3) Β. Ν. λαλοῦντα διὰ στόματός σου (4) ἁγίας σου προσευχῆς (5) Β. Ν. πρόβατον (6)Β.Ν. ἅπερ (7) Β.Ν. οὕτως (8) Β. Ν. διδάσκων τὰ τέκνα, τῷ δὲ ἔργῳ τὸν λόγον βεβαιῶν πᾶσιν ἦν ἐπέραστος καὶ αἰδέσιμος ἐν τῇ τοσαύτῃ αὐτοῦ ἀνυπερβλήτῳ ταπεινοφροσύνῃ. (9) Β. Ν. οὖν (10) Β. Ν. μαθητὴς ἐποίει (11) Β. Ν. ὥστε τοὺς πόδας αὐτοῦ, κοπιάσαντος ἀπὸ τῆς ὁδοιπορίας νῖψαι. Μαθόντες δὲ οἱ γείτονες καὶ συμμαθηταὶ τὴν τοῦ ἁγίου παρουσίαν συνέτρεχον κλπ.

τῆς αὐτοῦ εὐλογίας μετασχεῖν, ἐν οἷς ἦν καὶ γυνή, ἥτις καὶ (1) ἐβιάζετο νῖψαι τοὺς πόδας τοῦ ἁγίου. Καὶ φησὶν ὁ ἅγιος πρὸς αὐτήν· Μή μου ἅπτου, οὐδὲ γὰρ νίψεις μου (2) σὺ τοὺς πόδας. Ἡ δὲ ἐπέμενε τοῦτο πρᾶξαι θέλουσα (3). Ἐπιμενούσης δὲ αὐτῆς καὶ φιλονικούσης τοῦ μόνον πάντως τῶν ποδῶν τοῦ ἁγίου ἅψασθαι καὶ πλῦναι αὐτούς, ἐμβριμησάμενος αὐτῇ ὁ πρᾳότατος καὶ Θεοῦ (4) δοῦλος λέγει· Εἶπόν σοι οὐ μή μου νίψεις τοὺς πόδας· ὄψις γὰρ πόρνης ἐγένετό σοι. Ἡ δὲ τὴν ἐν πρᾳότητι στυφότητα καὶ ἐπιτιμίαν τοῦ ἁγίου δεξαμένη καὶ εἰς ἑαυτὴν ἐλθοῦσα, καταπλησσομένη ἐπὶ τῇ προγνώσει τοῦ ἁγίου, καὶ γνοῦσα ὅτι ἐκ τοῦ Θεοῦ ἐφανερώθη αὐτῷ τὰ περὶ αὐτῆς, πρὸ τῶν ποδῶν τοῦ πνευματοφόρου πατρὸς προσπεσοῦσα (5), ἐβόα πρὸς τὸν Ἅγιον μετὰ δακρύων ὀδυρομένη καὶ λέγουσα· Σὲ ἰατρὸν καὶ σωτῆρα τῆς ἐμῆς ψυχῆς ὁ δεσπότης σήμερον ἀπέστειλεν ἐνταῦθα Θεός· ἀλλὰ δέομαί σου, ἐλευθέρωσόν με τοῦ ἐκ τοῦ πάθους τούτου ἐπερχομένου μοι κλύδωνος καὶ τοῦ ἐξ αὐτοῦ τικτομένου ῥῦσαί με θανάτου· ἀλήθειαν γὰρ εἶπας, πάτερ ἅγιε καὶ δοῦλε τοῦ Θεοῦ, ὅτι ὄψις πόρνης ἐγένετό μοι. Ἐπόρνευσα γὰρ καὶ παρθένος οὐκ εἰμί. Ἀλλ' εἰπὲ λόγῳ (6) καὶ ἰαθήσεται ἡ παιδίσκη σου, ὅπως λάβω κατάνυξιν μετανοίας ἀληθοῦς καὶ δακρύων (7), ἵνα διὰ τῆς τοῦ πένθους (8) σκυθρωπότητος τὴν συγχώρησιν (9) λάβω τῶν ἐμοὶ ἐπταισμένων, ἐγὼ ἡ ἀναξία τῆς σῆς προσευχῆς. Ὅτι διὰ τῆς συνειδήσεως κατακέκριμαι τῆς ἐμῆς καὶ καίομαι ὑπ' αὐτῆς δεινῶς βασανιζομένη (10). Ἀλλὰ στῆσον, δέομαί σου, τὴν τοῦ κακοῦ ῥῦσιν καὶ ἄφεσίν μοι βράβευσον (11) παρὰ Χριστοῦ τοῦ Θεοῦ τῶν πολλῶν μου ἁμαρτιῶν. Ταῦτα δὲ τῆς γυναικὸς ἐπὶ πάντων τῶν παρόντων ἐξομολογησαμένης ἀνεπαισχύντως, καὶ τὴν ἁμαρτίαν ἑαυτῆς

(1) Β. Ν. Γυνή τις ἣ καὶ (2) Β. Ν. μηδὲ νίπτε μου (3) Β.Ν. φιλονικοῦσα (4) Β. Ν. τοῦ Θεοῦ (5) Β.Ν. πεσοῦσα (6) Β. Ν. λόγον (7) Β.Ν. δάκρυα (8) Β. Ν. πάθους (9) Β. Ν· συγχώρησιν. (10) ὑπ' αὐτῆς βασανιζομένη (11) Β. Ν. ἄνυσον.



παρουσίᾳ πάντων θριαμβευούσης, καὶ τῷ δικαίῳ συνεχῶς μετὰ δακρύων προσπιπτούσης, ὁ ἅγιος πατὴρ ἡμῶν Σπυρίδων, τῶν ἀποστολικῶν χαρισμάτων πεπληρωμένος, τὸν ἑαυτοῦ Δεσπότην μιμούμενος Χριστόν, εἶπε πρὸς τὴν γυναῖκα· θάρσει, θύγατερ· ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου (1). Καὶ πάλιν λέγει πρὸς αὐτήν· ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται, τοῦτ' ἔστιν, ἵνα μὴ πάλιν τῷ αὐτῷ περιπεσοῦσα νοσήματι (2) αἰώνιον ὑπομείνῃς τὴν κόλασιν. Ταύτης δὲ τῆς συγχωρήσεως ἡ γυνή, ἡ ποτὲ πόρνη, τυχοῦσα, ἐπορεύετο, ἁμαρτιῶν ἄφεσιν εὑροῦσα, διὰ τῆς τοῦ ἁγίου πατρὸς ἡμῶν (3) πρὸς τὸν Θεὸν πρεσβείας· καὶ θαυμάζουσα τὴν τοῦ ἁγίου στυφότητα καὶ ἀγαθότητα μετὰ τῆς θείας γνώσεως καὶ ἀγαλλομένη (4) πᾶσιν ἀνήγγειλε διηγουμένη τὰ εἰς αὐτὴν ὑπὸ τοῦ ἁγίου λεχθέντα, τοῦ λοιποῦ σωφρόνως βιώσασα.

Κεφ. η'. Ἐν ταῖς ἡμέραις Κωνσταντίνου, τοῦ πρώτου, ὡς προείρηται, Χριστιανῶν βασιλέως, γέγονεν ἡ ἐν Νικαίᾳ ἁγία Σύνοδος, ἐν ὑπατείᾳ Παυλίνου καὶ Ἰουλιανοῦ, μηνὶ Μαΐῳ εἰκάδι, Ἰνδικτιῶνος τεσσαρεσκαιδεκάτης. Τοῦτο δὲ ἦν ἔτος ἑξακοσιοστὸν τριακοστὸν ἕκτον ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλείας (5), ἐν ᾗ ἡ ἁγία Σύνοδος ἐκινεῖτο κατὰ τοῦ Ἀρείου τοῦ δυσσεβοῦς. Συναχθέντων δὲ τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων μετὰ τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου ἐν τῇ Νικαέων πόλει, εἶτα ἐνισταμένου τοῦ θεομάχου Ἀρείου καὶ λέγοντος τὸν ἕνα τῆς Τριάδος τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ ὑποδεέστερον (6) τοῦ Πατρός, καὶ οὐ συνάναρχον, ἀλλὰ κτιστόν, συνέτρεχον αὐτῷ Εὐσέβιος ὁ Νικομηδείας καὶ Θέογνιος ὁ Νικαίας καὶ Μάρης (7) Χαλκηδόνος. Τούτοις δὲ γενναίως ἀντηγωνίζετο ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν

(1) Β Ν. Θάρσει, θύγατερ· ἡ πίστει σου σέσωκέ σε· ἀφέωνταί σου αἱ ἁμαρτίαι (2) Β. Ν. πτώματα (3) Β.Ν. ἡμῶν, λείπει (4) Β. Ν. ἀγαλλιωμένη (5) Β. Ν. βασιλέως (6) Β. Ν. Θεὸν ὑποδεέστερον. (7) Β. Ν. Μάρις.

Ἀλέξανδρος, τηνικαῦτα πρεσβύτερος ὢν καὶ εἰς τὸν τόπον τοῦ μακαρίου Μητροφάνους ἐλθὼν ἐν Νικαίᾳ, αὐτοῦ δὲ διὰ νόσον (1) μὴ δυνηθέντος καὶ γῆρας ἀπαντῆσαι. Ἔτι τούτοις ἀντηγωνίζετο καὶ Ἀθανάσιος Ἀλεξανδρέων Ἐκκλησίας διάκονος ὑπάρχων (2)· διὸ καὶ φθόνος ὡπλίσατο (3) κατ' αὐτῶν. Παρῆν δὲ καὶ ὁ σημειοφόρος δοῦλος τοῦ Θεοῦ (4) Σπυρίδων, περὶ οὗ ἡμῖν ὁ λόγος. Εἶτα καλοῦσι τὸν Ἄρειον εἰς τὴν Σύνοδον, ἐπιτρέποντες αὐτῷ συστῆναι τοῖς οἰκείοις δόγμασιν. Ἀλλὰ τὸ κατὰ τὴν Σύνοδον γεγονὸς θαυμαστὸν ὑπὸ τούτου τοῦ Θεοφόρου πατρὸς ἡμῶν Σπυρίδωνος, οὐκ ἄξιον σιωπῇ παραπέμψασθαι. Πρὸς γὰρ τὸ παράδοξον τοῦ βασιλικοῦ διατάγματος καὶ φιλόσοφοι ἐν τῇ Συνόδῳ παρῆσαν, λίαν διαλεκτικῶς ἐμπειρότατοι· ἐν οἷς ἦν παρὰ πάντα (5) θαυμαζόμενός τις ἐξ αὐτῶν καὶ πάμπολα τοῖς ἐπισκόποις περὶ τοῦ Ἀρείου διαπληκτιζόμενος, ὥστε γενέσθαι ἐκ τῆς συμβολῆς (6) μεγάλην ἀκρόασιν, πλήθους ἐπισυνθέοντος. Οὔτε γὰρ οἷοί τε ἦσαν οἱ ἐπίσκοποι (7) τὸν φιλόσοφον τέως περιτρέψαι διαλεγόμενον, ὅτι πᾶσι τοῖς ἐπαγομένοις (8) ῥᾷστα προσεφέρετο, ἐπιλύων τὰ κινούμενα καὶ δίκην ἐγχέλιος, ἐν οἷς ἐδόκει συνέχεσθαι, διολισθαίνων, καὶ ἐπικρατέστερος γινόμενος τῶν προτιθεμένων νοημάτων (9). Ἀλλ' ἵνα δείξῃ ὁ Θεὸς ὅτι οὐκ ἐν λόγῳ ἡ Βασιλεία, ἀλλ' ἐν δυνάμει συνίσταται, τῷ αὐτοῦ θεράποντι τὴν ψῆφον ἐγνώρισεν. Ὁ γὰρ προειρημένος οὗτος Ἀρχιερεὺς Σπυρίδων, μηδὲν ἄλλο εἰδὼς, εἰμὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον, ἐν τοῖς λοιποῖς ἀκροαταῖς συνῆν τοῖς ἐπισκόποις. Ὃς ἰδὼν τὸν φιλόσοφον ἐπικερτομοῦντα τοῖς ἡμετέροις καὶ τῇ μοχθηρᾷ συζητήσει καταλαζονευόμενον, ᾔτει χώραν αὐτῷ συνομιλίας ἐπιδοθῆναι πρὸς αὐτόν. Τότε οἱ καθ' ἡμᾶς συνιδόντες (10) τοῦ ἀνδρὸς τὴν ἁπλότητα, κατὰ τὸ ἄπει-

(1) BN. αὐτοῦ διὰ νόσον (2) BN. διάκονος ὢν τῆς Ἀλεξανδρέων ἐκκλησίας (3) B.N. φθόνον ὡπλίσαντο (4) B.N. δοῦλος τοῦ Θεοῦ καὶ σημειοφόρος (5) B.N. πάντας (6) BN. εἰς τὴν συμβολὴν (7) BN. ἦσαν ἐπίσκοποι (8) BN. ἐπειγομένοις (9) BN. τῶν ἐπικρατεστέρων αὐτῷ προτιθεμένων νοημάτων. (10) BN. συνειδότες.



ρον αὐτὸν εἶναι (1) γραμμάτων ἐννοοῦντες ἔπειθον μὴ εἰς μέσον ἐλθεῖν (2), μή ποτε παρὰ τοῖς μοχθηροῖς γέλως γένηται. Ὁ δὲ μὴ ἀνασχόμενος πρόσεισι τῷ ἀνδρὶ, καὶ φησὶ πρὸς αὐτόν· ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ὦ φιλόσοφε, ἄκουσον τὰ τῆς ἀληθείας δόγματα. Ὁ δὲ πρὸς αὐτόν· ἐὰν εἴπῃς (3), ἀκούω. Καὶ αὐτὸς λέγει· Εἷς ἐστὶν ὁ Θεὸς (4), φησὶν, ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας, ὁ καὶ τὸν ἄνθρωπον ποιήσας ἐκ γῆς· αὐτὸς ὑπεστήσατο ὁμοῦ τοῖς ὁρατοῖς καὶ τὰ ἀόρατα (5) τῷ λόγῳ αὐτοῦ καὶ τῷ πνεύματι. Τοῦτον τὸν Λόγον ἡμεῖς τοῦ Θεοῦ εἰδότες προσκυνοῦμεν πιστεύοντες (6) διὰ τὴν ἡμετέραν ἀπολύτρωσιν ἐκ Παρθένου τίκτεσθαι, καὶ διὰ σταυροῦ καὶ θανάτου αὐτὸν ἡμᾶς ἠλευθερωκέναι ἀπὸ τῆς αἰωνίου κατακρίσεως, διὰ δὲ τῆς ἀναστάσεως αὐτοῦ ζωὴν ἡμῖν ἀΐδιον περιποιεῖσθαι· ὃν καὶ ἐλπίζομεν αὖθις ἐλθόντα ἔσεσθαι κριτὴν πάντων ὧν διεπραξάμεθα· πιστεύεις εἰς τοῦτο, ὦ φιλόσοφε; Ὁ δὲ ὡσὰν (7) μήδεποτε λόγων πεῖραν ἔχων εἰς ἀντίθεσιν ἀπηνεώθη, καὶ ὡς κωφὸς ὢν ἐσιώπησεν, ἓν μόνον πρὸς αὐτὸν εἰπὼν, ὅτι, κἀμοὶ ταῦτα οὕτως ἔχειν δοκεῖ, μηδὲν ἕτερον (8) εἶναι ἢ πάντα καθὼς προείρηκας. Ὁ δὲ γέρων πρὸς αὐτὸν ἔφη· Εἰ ταῦτα οὕτως ἔχειν πιστεύεις, ὦ φιλόσοφε, ἀναστὰς ἀκολούθει μοι καὶ ἐπὶ τὴν ἐκκλησίαν ἀπέλθωμεν (9), ἐν ᾗ λήψῃ τὸ σημεῖον ταύτης τῆς ὀρθοδόξου πίστεως. Ὁ δὲ φιλόσοφος μεταβαλὼν ἑαυτὸν πρὸς εὐσέβειαν, ἐπιστραφεὶς λέγει πρὸς τοὺς μαθητὰς αὐτοῦ καὶ πᾶσι τοῖς συνελθοῦσιν εἰς τὴν ἀκρόασιν· Ἀκούσατε, φησίν, ὦ ἄνδρες, ἕως ὅτε λόγων ἐποιούμην σπουδήν, λόγοις ἀντετίθουν, καὶ τὰ προσφερόμενα τέχνῃ τοῦ λέγειν ἀνέτρεπον· ὅτε δὲ ἀντὶ λόγων, δύναμίς τις προσελήλυ-

(1) B. N. ἄπορον εἶναι αὐτόν (2) B. N. μὴ εἰσελθεῖν εἰς μέσον (3) B.N. ὃ ἐὰν εἴπῃς (4) B. N. *ὁ θεός*, λείπει (5) B. N. τοῖς ἀοράτοις καὶ τὰ ὁρατὰ (6) B. N. προσκυνοῦντες πιστεύομεν (7) B. N. ὡς ἄν τις (8) B. N. μηδὲν δ' ἕτερον (9) B. N. σπουδάσωμεν.

θεν ἀπὸ στόματος ἀντιτάξασθαι τῇ δυνάμει, οἱ λόγοι τοῦ συζητοῦντος οὐκ ἴσχυσαν. Οὔτε γὰρ ἄνθρωπος Θεῷ οἷος τε ἐστὶν ἀντιστῆναι δυνατός (1). Διὰ τοῦτο εἴ τις ὑμῶν δύναται συνιέναι, ὡς κἀγὼ νενόμικα (2), πιστεύσει εἰς Χριστὸν καὶ ἀκολουθήσει τούτῳ τῷ γέροντι, ἐν ᾧ ἐλάλησεν ὁ Θεός. Τούτῳ τῷ τρόπῳ ὁ φιλόσοφος γέγονε χριστιανὸς, καὶ ἔχαιρεν ἡττηθεὶς ὑπὸ τοῦ γέροντος (3).

Κεφ. θ'. Ἀνεφάνη(4) δὲ τῇ ἑξῆς κατὰ τὴν Σύνοδον καὶ ἄλλος τις ἐκ τοῦ χοροῦ τῶν ὁμολογητῶν, τοὔνομα Παφνούτιος, ἀνὴρ Αἰγύπτιος καὶ τοῦ Θεοῦ ἄνθρωπος, οὗ Μαξιμιανὸς ὁ βασιλεὺς τοὺς δεξιοὺς ὤρυξεν ὀφθαλμοὺς καὶ τὰς λοιπὰς ἐνευροκόπησεν ἀγκύλας· ἐν ᾧ τοσαύτη ἦν χάρις Θεοῦ ἐπ' αὐτὸν, ὥστε σημεῖα ποιεῖν. Λόγῳ γὰρ τοὺς δαίμονας ἐφυγάδευε καὶ εὐχῇ ἀσθενοῦντας ἐθεράπευε, τυφλοῖς τοῦ βλέπειν Θεὸν ἐξαιτούμενος παρεῖχε καὶ παρειθέντας πρὸς τὴν κατὰ φύσιν ἦγεν ἀκμήν. Ὃν ὁ βασιλεὺς διὰ τιμῆς εἶχε, συνεχῶς τε εἰς τὰ βασίλεια μετεπέμπετο καὶ τὸν ἐξωρυγμένον ὀφθαλμὸν κατεφίλει. Τοσαύτη ἦν ἡ εὐλάβεια τῷ βασιλεῖ Κωνσταντίνῳ (5). Τοιούτοις οὖν ἐν ἐκείνοις ἔτι (6) τοῖς καιροῖς ἁγίοις ἀνδράσιν ἡ ἐκκλησία ἐσεμνύνετο. Ἐξ ὧν πολλοὶ παρῆσαν κατὰ τὴν ἐν Νικαίᾳ Σύνοδον. Ἀνεκίνουν γοῦν ὁσημέραι περὶ τῆς πίστεως πολλὰ συνεξετάζοντες, οἰόμενοι δεῖν μηδὲν εὐχερὲς ἢ τολμηρὸν περὶ τηλικαύτης ζητήσεως διαπράττεσθαι, συνεχῶς τε (7) τὸν Ἄρειον μετεπέμποντο καὶ πυκνῇ ἀνακρίσει τὰς τούτου προτάσεις ἀνέπτυσσον; ὅπως γε δὲ (8) πρὸς τὴν ἀνατροπὴν τῶν ἀθέσμων αὐτοῦ δογμάτων ψηφίσασθαι καὶ

(1) Β. Ν. Οἷος ἐστὶν ἀντιστῆναι (2) Β. Ν. νενόηκα.

(3) Μέχρι τοῦ μέρους τούτου ὁ βίος καὶ ἡ σειρὰ τῶν θαυμάτων ἀκολουθοῦσι τὰ ἐν τῷ γνωστῷ ἐκτενεῖ βίῳ Συμεῶνος τοῦ Μεταφραστοῦ· τὰ δὲ λοιπὰ κατωτέρω περὶ Παφνουτίου καὶ τῆς Συνόδου ἐλλείπουσι παρ' ἐκείνῳ.

(4) Β. Ν. Ἐγένετο δὲ (5) Β.Ν. τοσαύτη ἦν τῷ βασιλεῖ Κωνσταντίνῳ ἡ εὐλάβεια (6) Β. Ν. τοιούτοις τοιγαροῦν τοῖς ἐν ἐκείνοις (7) Β. Ν. συχνότεοον (8) Β. πῶς γε δὴ ὡς (;) Ν. περί γε δὲ ὡς.



θεωρήσασθαι (1) μετὰ πολλῆς σκέψεως ἐλογίζοντο. Μετὰ γοῦν πολλὴν τὴν τῆς σκέψεως κατάστασιν, ἔδοξε πᾶσιν ὁμοῦ τὸ ὁμοούσιον δεῖν ὁρίσασθαι ἐπὶ τῆς ἐκκλησιαστικῆς πίστεως· τουτέστι τῆς αὐτῆς οὐσίας τῷ Πατρὶ (2) καὶ τὸν Υἱὸν ὁμολογεῖν· ἣν καὶ κατὰ κράτος πάντες ἐβεβαιώσαντο (3), παρεκτὸς τινῶν, ἑπτὰ καὶ δέκα τὸν ἀριθμὸν, οἵ συνεπείσθησαν (4) Ἀρείῳ, ἅτε δὴ τὸν Υἱὸν ἔξωθεν λέγοντες δεδημιουργεῖσθαι τῷ Θεῷ, ἐκ μὴ ὄντων τινῶν ὑποστάσεων καὶ οὐκ ἀπ' αὐτῆς τῆς Θεότητος γεννηθῆναι. Ἀναφέρεται δὲ ἐπὶ τὸν εὐσεβῆ βασιλέα Κωνσταντῖνον ἡ τῆς Συνόδου ἀπόφασις, ἣν ὡς θεόθεν προσενεχθεῖσαν καὶ σεβάζεται (5) καὶ παραδέχεται, καὶ τοὺς ἀντιλέγοντας ἅτε τῷ Θεῷ ἐναντιουμένοις ἐξορίαν ὑποστῆναι ψηφίζεται. Ἐξ τοίνυν μετὰ Ἀρείου ἔμειναν, συνασπασθῆναι (6) αὐτῷ ἑλόμενοι, οἱ γὰρ ἕνδεκα πολινοδίαν (7) ποιησάμενοι ὑπογράφουσιν εἰς τὸ ὁμοούσιον, γραφῇ, οὐ προαιρέσει. Ταύτης τῆς ὑπούλου γνώμης (8) ἐξ ἀρχῆς καὶ Εὐσέβιος ὁ Νικομηδείας ἐπίσκοπος καὶ μέχρι τέλους δείκνυται· καὶ οὕτω πέρας λαβούσης τῆς ἁγίας Συνόδου, πάντες χαίροντες καὶ δοξάζοντες τὸν Θεὸν πρὸς τὰς ἰδίας πόλεις ἀπίεσαν, θαυμάσαντες (9) ἕκαστος καὶ περὶ τοῦ γενομένου σημείου παρὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος εἰς τὸν φιλόσοφον. Καὶ ὁ βασιλεὺς δὲ τοῦτον ἀσπασάμενος καὶ πρεσβεύειν ἐξαιτησάμενος ὑπὲρ ἑαυτοῦ (10) ἐν εἰρήνῃ ἀπέλυσεν.

Κεφ. ι'. Ἔτι (11) δὲ ἐνδημοῦντος τοῦ ἁγίου τούτου(12) καὶ σημειοφόρου Σπυρίδωνος ἐν τῇ εἰρημένῃ συνόδῳ, ἡ θυγάτηρ αὐτοῦ ἡ τεχθεῖσα ἐκ τῆς ἐν σωφροσύνῃ συναφθείσης αὐτῷ

(9) Β. Ν. ἀνθωρήσασθαι (ἴσως γραπτέον, ἀναθεωρήσασθαι) (2) Β. Ν. τῆς αὐτῆς τῷ Πατρὶ οὐσίας (3) Β. Ν. ἐβεβαίωσαν (4) συνανεπείσθησαν (5) Β. Ν. σέβῃ (sic) (6) Β.Ν. συναποσθῆναι (7) Β.Ν. παλινῳδίαν (8) Β.Ν. τῆς ὑπουλίας (9) Β. Ν. θαυμάζοντες (10) Β. Ν. ἐξαιτήσας ὑπὲρ αὐτοῦ.

(11) Ἐντεῦθεν ἀναλαμβάνεται πάλιν ἡ σειρὰ τῆς διηγήσεως παραλλήλως τῷ γνωστῷ βίῳ τοῦ Συμεῶνος.

(12) Β. Ν. τοῦ ἁγιωτάτου.

νομίμου γυναικὸς τέλος τοῦ βίου ἐχρήσατο ἐν παρθενίᾳ τὸν ἑαυτῆς χρόνον διατελέσασα. (1) Ἐπανελθὼν δὲ ὁ ἅγιος μετὰ τὸ πέρας τῆς ἁγίας Συνόδου εἰς τὴν ἰδίαν πατρίδα, εὗρε τεθνηκυῖαν τὴν ἑαυτοῦ θυγατέρα καὶ εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα διὰ τὴν ἐνάρετον αὐτῆς πολιτείαν παραθεμένην. Δικαίων γὰρ ψυχαί, φησίν, ὁ τοῦ Σειρὰχ Ἰησοῦς, ἐν χειρὶ Θεοῦ. Προσῆλθε δὲ τῷ ἁγίῳ ἐπανελθόντι ἀπὸ τῆς Συνόδου γυνή τις ὀδυρομένη καὶ λέγουσα· Ἐλέησόν με, ἄνερ τοῦ Θεοῦ, ὅτι τῇ σῇ θυγατρί, ἔτι ζώσῃ κόσμον χρυσοῦν παρεθέμην, καὶ ἄφνω ἀποθανούσης ἔμεινε παρ' αὐτῇ. Ταῦτα ἀκούσας ὁ ἅγιος, εἰσελθὼν εἰς τὸ ἑαυτοῦ ταμεῖον, εἰς πάντα τὸν οἶκον ζητήσας, οὐχ εὗρε τὸ κόσμιον (2). Πίστει δὲ ἀδιστάκτῳ καὶ τῇ ἐκ Θεοῦ πεποιθήσει ἦλθε μετὰ τῶν συνόντων αὐτῷ καὶ τῆς γυναικὸς εἰς τὸν τάφον τῆς ἁγίας παρθένου καὶ θυγατρὸς αὐτοῦ, καὶ φησὶν ὁ δίκαιος εἰς ἐπήκοον πάντων. Τέκνον, Εἰρήνη, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπέ μοι ποῦ ἔθηκας (3) τὸ τῆς γυναικὸς κόσμιον, ὃ ἔλαβες παρ' αὐτῆς ἐν παρακαταθήκῃ ; Ἡ δὲ ὡς ἐξ ὕπνου ἀναστᾶσα καὶ ὡσπερεὶ τῷ δικαίῳ τὴν τιμὴν ἀπονέμουσα εἶπε· Κύριέ μου πάτερ, εἰς τόν δε τὸν τόπον τοῦ οἴκου τὸ κόσμιον κέκρυπται. Ὁ δὲ ἅγιος πρὸς αὐτήν· κάθευδε τὸ λοιπόν, τέκνον, ἕως ἐλθὼν ὁ Κύριος ἐγερεῖ σε μετὰ πάντων. Ταῦτα εἰπὼν καὶ ἀκούσας παρὰ τῆς ἁγίας αὐτοῦ θυγατρὸς, ἐλθὼν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ζητήσας, εὗρε τὸ κόσμιον καὶ ἔδωκεν αὐτὸ τῇ κυρίᾳ αὐτοῦ. Πάντες δὲ ἐδόξασαν τὸν Θεόν, τὸν τοιαῦτα χαριζόμενον τοῖς γνησίως δουλεύουσιν αὐτῷ· καὶ ἔλαβεν ἔκστασις πάντας τούς τε θεασαμένους καὶ ἀκούσαντας ταῦτα (4).

---

(1) Β. Ν. ἡ θυγάτηρ αὐτοῦ ἐτελεύτησεν, ἐκ τῆς σωφροσύνῃ (ἴσως σωφρόνως) συναφθείσης αὐτῷ νομίμου γυναικός, διὰ τὸ τοῦ βίου ὀλισθηρὸν ἐν παρθενίᾳ τὸν ἐσαεὶ χρόνον διατελέσασα. (2) Β.Ν. τὸν κόσμον (3) Β.Ν. τέθηκας.

(4) Ἐνταῦθα λήγει τὸ ἀντίγραφον τοῦ ἐκ Βενετίας χειρογράφου τοῦ ἀοιδ. Βουλισμᾶ πρὸς ὃ ἐποιησάμεθα τὴν παραβολήν. Ἐν τοῖς κατωτέρω μέχρι τέλους ἡ παραβολὴ γενήσεται πρὸς μόνον τὸ τοῦ Σεβ. Ἀρχιεπισκόπου Νικοκάβουρα ἀντίγραφον τοῦ τῆς Μαρκιανῆς χειρογράφου. Σ. Π.



Μαρτυρεῖ δὲ περὶ τούτου καὶ Σωκράτης ὁ σχολαστικὸς ὁ τὴν ἐκκλησιαστικὴν ἱστορίαν συντάξας, ἐπειδή περ τούτου τε καὶ ἄλλων τινῶν ἐμνημόνευσε θαυμάτων ὑπὸ τοῦ ἁγίου γενομένων, (1) ἅπερ αὐτὸς κατ' ἐκεῖνου τοῦ καιροῦ παρά τινων Κυπρίων ἀληθινῶν ἀνδρῶν διηγησαμένων αὐτῷ ἔμαθε. Λοιπὸν δὲ καὶ ἐν ταῖς ἐκκλησιαστικαῖς ἱστορίαις, ταῖς ὑπὸ Ρουφίνου τοῦ πρεσβυτέρου συνταχθεῖσιν ἐν ῥωμαϊκῇ λέξει, εὗρόν τινα καὶ ἐνέσταξα τὰ ὑπὸ τοῦ Σωκράτους, λέγω, ἐν τῷδε τῷ συγγράμματι, πρὸς πληροφορίαν τῶν ἐντευξομένων.

Κεφ. ια'. Μετὰ τὸν θάνατον Κωνσταντίνου τοῦ εὐσεβῶς βασιλεύσαντος, Κωνσταντῖνος, (2) ὁ τούτου υἱὸς τῆς Ἑώας βασιλεύσας, διέτριψεν (3) ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ, ὅστις ἀσθενείᾳ σωματικῇ περιέπεσεν· οὐδεὶς δὲ τῶν ἰατρῶν θεραπεῦσαι ἠξυνήθη τὸ πάθος. Ἐν τοιαύτῃ οὖν ἀνάγκῃ ὢν ὁ βασιλεὺς καὶ ἀνθρωπίνην βοήθειαν μὴν (4) ἔχων, τὸν ἐλεήμονα Κύριον καὶ ἰατρὸν τῶν ψυχῶν καὶ τῶν σωμάτων, τὸν μόνον ὄντως ὄντα βασιλέα δυσωπεῖ (5) ἰαθῆναι ἀπὸ τῆς τοιαύτης χαλεπῆς νόσου. Ὧτινι βασιλεῖ ἐκτενῶς προσευχομένῳ διὰ νυκτερινῆς ὄψεως ἄγγελος Κυρίου ἔδειξε χορὸν πολλῶν ἁγίων ἐπισκόπων. Ἀτενίσας δὲ ὁ βασιλεὺς καὶ ἰδών, θεωρεῖ μέσον αὐτῶν δύο τινὰς ἱσταμένους (6) καὶ αὐτοὺς ἐπισκόπους, οὓς ὁ ἄγγελος ἔλεγε τῷ βασιλεῖ ἰατροὺς εἶναι τῆς αὐτοῦ ἀσθενείας. Ταῦτα αὐτοῦ ἑωρακότος, ἐλθὼν εἰς ἑαυτὸν ὁ βασιλεὺς, ἐλογίζετο τίνες ἦσαν ἐκεῖνοι, οἱ ἐν τῷ ὀνείρῳ δειχθέντες αὐτῷ ἅγιοι ἐπίσκοποι καὶ ἰατροί. (7) Καὶ ἦν αὐτῷ πόνος μέγας ἐν τῇ ψυχῇ, μὴ γινώσκοντι τῶν φανέντων αὐτῷ τὰ ὀνόματα, μήτε μὴν ποίας πόλεως τυγχάνουσιν ὄντες ἐπίσκοποι· καίπερ τοῦ ἑνὸς ἐξ αὐτῶν οὔπω τῆς ἀρχιερατικῆς χάριτος ἠξιωμένου, ὡς μικρὸν ὕστερον λεχθήσεται, ἀλλὰ τῇ προγνωστικῇ τοῦ

---

(1) Ὅρα Σωκράτ. Ἱστορ. Α'. ιε'. καὶ Σωζόμεν. Ἱστορ. Α'. ια'. (Σ. Π).

(2) Κωνστάντιος (3) διέτριβεν (4) μὴ (5) ἐδυσώπει (6) δύο παρισταμένους (7) ἰατροὶ καὶ σωτῆρες.

Θεοῦ βουλήσει ὑπὸ τοῦ ἀγγέλου ὄντως τῷ βασιλεῖ δειχθέντος, καὶ τοῦτο πρὸς ὠφέλειαν. Ἀγνοῶν οὖν, ὡς εἴρηται, ὁ βασιλεὺς τίνες οἱ δειχθέντες αὐτῷ ἢ ποίας πόλεως τυγχάνουσιν, ἐποτνιᾶτο μεγάλως τὴν ψυχὴν καὶ ἠπορεῖτο τί διαπράξασθαι. (1) Πίστει δὲ ἀδιστάκτῳ ὁ βασιλεὺς κρατούμενος, καὶ πεποιθὼς ὅτι ἀληθεύσει (2) τὸ ὑπὸ τοῦ ἀγγέλου δειχθὲν αὐτῷ, εἶτα τῆς κατεχούσης αὐτὸν ὀδύνης ἐλευθερωθῆναι γλιχόμενος, σοφισθεὶς τὴν καρδίαν, βασιλικῇ αὐθεντείᾳ κέχρηται, καὶ κελεύει τοὺς ἁπανταχοῦ γῆς τῆς Ρωμαϊκῆς πολιτείας ἁγίους ἐπισκόπους ὄντας(3) πρὸς αὐτὸν παραγενέσθαι. Τῶν μὲν οὖν βασιλικῶν κελεύσεων κατὰ πόλιν πεμφθέντων (sic) πάντες οἱ ἐπίσκοποι παρεγένοντο πρὸς αὐτὸν ἕκαστος ἀπὸ τῆς ἰδίας πόλεως· ὁ δὲ βασιλεὺς μετὰ τιμῆς(4) τῆς προσηκούσης καὶ χαρᾶς δεχόμενος αὐτοὺς καὶ δῶρα προσφέρων, ἀσπαζόμενός (5) τε αὐτοὺς καὶ αἰτῶν εὐχὴν προέπεμπεν ἐν εἰρήνῃ. Εἶτα, μηδαμοῦ εὑρισκομένων τῶν δειχθέντων(6) ὑπὸ τοῦ ἀγγέλου ἰατρῶν ἐδυσφόρει καὶ ἔστενε, καὶ παρεκάλει τὸν Θεὸν συντόνως(7) προσευχῇ κεχρημένος, ὅπως ἀποστείλῃ αὐτῷ τοὺς ἁγίους ἐκείνους ἐπισκόπους καὶ ἰατρούς. Ἔγνω δὲ καὶ ὁ ἅγιος πατὴρ ἡμῶν Σπυρίδων διὰ τοῦ ἐκ Θεοῦ δεδωρημένου αὐτῷ προορατικοῦ χαρίσματος πάντα τὰ ὑπὸ τοῦ ἀγγέλου ἐν τῇ νυκτὶ δειχθέντα τῷ βασιλεῖ. Ἔφθασαν δὲ καὶ ἐν τῇ Κυπρίων νήσῳ αἱ παρὰ τοῦ βασιλέως πεμφθεῖσαι κελεύσεις. Μικρὸν δὲ ἀναμείνας ὁ Ἅγιος, πνεύματι θείῳ διεγερθείς, κατέλαβε καὶ αὐτὸς μετὰ Τριφυλλίου τοῦ μαθητοῦ αὐτοῦ, οὔπω χειροτονηθέντος, τῇ προγνώσει δὲ τοῦ Θεοῦ χειροτονηθέντος, ὃν καὶ (8) ὁ ἄγγελος ὑπέδειξε τῷ βασιλεῖ. Κατέλαβε δὲ ὁ ἅγιος τοῦ Θεοῦ, ὡς εἴρηται, (9) μετὰ Τριφυλλίου, τοῦ τε διακόνου Ἀρτεμιδώ-

(1) τὸ τί ἂν πράξηται.—Τὸ τῆς Ἑνετίας χειρόγραφον, κατὰ σημείωσιν τοῦ Σ. Ἀρχιεπ. Νικοκάβουρα, εἶναι λίαν ἐφθαρμένον καὶ δυσανάγνωστον ἀπὸ τοῦ «ἦν αὐτῷ πόνος» μέχρι τοῦ «πράξηται» (2) ὅτι ἀλήθεια ἐστὶ (3) παρόντας (4) πάσης τιμῆς (5) κατασπαζόμενος (6) ὑποδειχθέντων (7) συντόνῳ (8) ὁ καὶ λείπει (9) κατέλαβεν οὖν ὁ ἅγιος, ὡς εἴρηται.



ρου,(1) καὶ εἰσῆλθεν ἐν τῷ παλατίῳ τοῦ βασιλέως οὗτος ὁ ἅγιος τοῦ Θεοῦ ἀρχιερεὺς μετὰ Τριφυλλίου, εὐτελῆ ἐσθῆτα περιβεβλημένος, καὶ τὴν ἑαυτοῦ βαΐνην ῥάβδον κατέχων καὶ ἀγγείδιον ὀστράκινον (2)· ὅπερ ἀγγεῖον ἐν τῇ ἁγίᾳ πόλει γίνεται σεμνὸν πάνυ· ἐν αὐτῷ γὰρ τὸ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ἔλαιον βάλλουσι. Τινὲς δὲ καὶ χρυσᾶ καὶ ἀργυρᾶ ποιοῦσι τὰ τοιαῦτα. (3) Οὕτως γὰρ καὶ ἐδείχθη τῷ βασιλεῖ ὑπὸ τοῦ ἀγγέλου βαστάζων τὴν βαΐνην ῥάβδον, καὶ τὸ ὀστράκινον σκεῦος ἔχων περὶ τὸν τράχηλον. Σταθέντος οὖν αὐτῷ(4) ἐν τόπῳ τινὶ τοῦ παλατίου, θεωρήσας αὐτόν τις τῶν ἐκεῖ(5) ἑστώτων, καὶ δόξας ὅτι πρὸς καταφρόνησιν τοῦ βασιλικοῦ τόπου τοῦτο πεποίηκεν, ἔδωκεν αὐτῷ ῥάπισμα (6) κατὰ τῆς σιαγόνος. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος, ἐργάτης (7) ὢν τῶν τοῦ Θεοῦ ἐντολῶν, στρέφει καὶ τὴν ἄλλην. Ὁ δὲ ἐπὶ τοιαύτῃ(8) ταπεινώσει καταπλαγείς, οὐ μὴν ἀλλὰ καὶ μαθὼν ἐπίσκοπον εἶναι τὸν ἅγιον, ᾐτεῖτο συγγνώμην τῇ ἐξ ἀπαιδευσίας ἀγνοίᾳ. Ὁ δὲ ἅγιος, τοῦτον νουθετήσας, ἦλθε πρὸς τὸν βασιλέα μετὰ καὶ ἑτέρων τινῶν λαμπρὰς στολὰς περιβεβλημένων. Θεωρῶν δὲ τὸν ἑαυτοῦ μαθητὴν Τριφύλλιον, τὸν τοῦ Θεοῦ δοῦλον, ἔτι νέον ὄντα καὶ μήπω γνῶσιν πνευματικὴν κεκτημένον, ἀλλ' ἔτι (9) τοῖς τοῦ βίου προσκαίροις κεχηνότα καὶ τὴν διάφορον τῶν ἀξιωμάτων ἐσθῆτα θαυμάζοντα,(10) κατὰ τὸ εἰρημένον ὅτι «οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσί», λοιπὸν δὲ(11) καὶ τὸν βασιλέα θεωροῦντα ἐν τῷ ὑψηλῷ ὀχήματι καθήμενον, χρυσῆν στολὴν περιβεβλημένον καὶ λίθους τιμίους ἠμφιεσμένον καὶ ἔννεον γινόμενον ἐπὶ τούτοις, θέλων αὐτὸν κατ' αὐτὸν τὸν τρόπον διορθώσασθαι ὁ ἅγιος, εἶπεν αὐτῷ· δεῖξόν μοι, Τριφύλλιε, τὸν βασιλέα. Ὁ δὲ νέος, ἔτι μείνας καὶ κατὰ τὸ φρόνημα νέος, ἔδειξεν αὐτῷ τὸν βασιλέα. Ὁ δὲ

(1) Ἀρτεμιδώρου ὀνόματι (2) ὀστράκινον ἔχων (3) αὐτὰ (4) αὐτοῦ (5) ἐκεῖσε (6) ῥάπισμα σφοδρόν (7) ἐγκρατής (8) τῇ τοιαύτῃ (9) ἀλλ' ἐπὶ (10) ἐννεὸν θαυμάζοντα (11) βλέπων δέ.

Ἅγιος πρὸς αὐτὸν φησίν· οὐκ ἔστι καὶ αὐτὸς ὁμοιοπαθὴς ἡμῖν; οὐχὶ καὶ αὐτὸς σήμερον καὶ αὔριον ταφῇ παραδοθήσεται καὶ κόνις γενήσεται, καθ᾽ ὃν τρόπον (1) καὶ ὁ πένης; τί θαυμάζεις τὸν σήμερον ὄντα καὶ αὔριον οὐκ ὄντα καὶ σκιᾶς(2)οὐδὲν διαφέροντα; τί διαφέρει τῶν ἐν τῇ χώρᾳ ἀνθρώπων οὗτος; μᾶλλον οὖν ἀγώνισας (3) τῶν ἀληθῶς ὄντων παραδόξων καὶ ἐπουρανίων καὶ τῆς ὑπερβαλούσης ἐκείνης δόξης θεωρὸς γενέσθαι. Καὶ ἐνῷ τὸν μαθητὴν ὑποστηρίζει ὁ ἅγιος, καθιζόμενος ὁ βασιλεὺς ἐφ᾽ ὑψηλοῦ βήματος, εἶδεν ἑστῶτα τὸν τῷ Χριστῷ συμβασιλεύειν ἀξιωθέντα, τὸν ἅγιον Σπυρίδωνα, τὴν τοῦ Θεοῦ βασιλείαν ἐν καρδίᾳ φοροῦντα, καὶ ἀντέβαλε τὸ σχῆμα τὸ ὑπὸ τοῦ ἀγγέλου ἐν ὁράματι δειχθὲν αὐτῷ, καὶ εὗρεν οὕτως. Ὁ γὰρ Ἅγιος εἶχεν ἐν χερσὶ τὴν ποιμαντικὴν αὐτοῦ βακτηρίαν καὶ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ κίδαριν ἐκ βαΐων φοινίκων πεπλεγμένην, ἥτις *τιάρα* παρά τισιν ὀνομάζεται, παρὰ δὲ ἄλλοις *περικεφαλαία*, ἤτοι *καππίς*(4)· ἐπιφερόμενος κἀκεῖνο τὸ ὀστράκινον σκεῦος,ἐν ᾧ ἦν (5) τὸ ζωτικὸν ἔλαιον τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. Τοῦτον οὖν(6)ἐν τοιούτῳ σχήματι θεασάμενος ὁ βασιλεὺς ἐχάρη χαρὰν μεγάλην σφόδρα, θεωρήσας τῶν ἁγίων ἰατρῶν τὴν παρουσίαν· καὶ ὅτι ἡ ἐπισκοπὴ τοῦ Θεοῦ ἤγγικε καὶ ἡ ὥρα τῆς ἰάσεως αὐτοῦ ἐφανερώθη. Καὶ ἀναστὰς μετὰ πολλῆς χαρᾶς ὁ βασιλεὺς(7) ἀπὸ τοῦ θρόνου αὐτοῦ εἰς προσκύνησιν τοῦ δούλου τοῦ Θεοῦ Σπυρίδωνος ἔδραμε, καὶ ἔκλινεν αὐτῷ μετὰ πολλῆς τῆς εὐλαβείας τὴν ἑαυτοῦ κεφαλὴν ὁ βασιλεύς. Ταύτης δὲ ὁ θαυματουργὸς Σπυρίδων ἁψάμενος, παραχρῆμα τῇ τοῦ Θεοῦ ἐπισκοπῇ καὶ ἐπινεύσει ὑγιῆ τῆς ἀρρωστίας ἐποίησε, καὶ τῇ τοῦ Θεοῦ δυνάμει ἐν μιᾷ καιροῦ ῥοπῇ ἐρρωμένος ἐν ἅπασιν ἐγένετο ὁ βασι-

(1) καθάπερ (2) σαπρίας (3) διορθωτ. *ἠγώνισας*, ἢ μᾶλλον *ἠγάπησας* Σ.Π.
(4) Ἀξιοπερίεργον τὸ *ψιάθινον* τοῦτο κάλυμμα τῆς κεφαλῆς τοῦ ἁγ. Σπυρίδωνος, τὸ ὁποῖον δὲν φαίνεται ἐκ τῆς ἱστορίας ὅτι ἦτο σύνηθες παρὰ τοῖς ἐπισκόποις κατ᾽ ἐκείνους τοὺς χρόνους Σ. Π.
(5) λείπει τὸ, ἦν (6) οὖν οὕτως (7) ὁ βασιλεὺς, λείπει.



λεύς· ὥστε πάντας τοὺς τότε παρόντας ἐπὶ τῇ τοιαύτῃ ἀθρόᾳ μεταβολῇ καὶ παραδόξῳ θαυματουργίᾳ, διὰ μόνης τῆς πρὸς τὸν Θεὸν προσευχῆς καὶ τῆς τῶν χειρῶν τοῦ θαυματουργοῦ Σπυρίδωνος ἐπιθέσεως, ἐκπλήττεσθαι καὶ θαυμάζειν. Εἶπε δὲ ὁ ἅγιος τῷ βασιλεῖ· Μηκέτι λυποῦ, ὦ βασιλεῦ,ἀλλὰ χαῖρε πάντοτε εὐχαριστῶν τῷ Θεῷ, τῷ τὴν σωτηρίαν σοι παρασχόντι, καὶ ἔσο διὰ παντὸς μνημονεύων τῆς μεγάλης τοῦ Θεοῦ(1)εὐεργεσίας, τῆς εἰς σὲ γενομένης. Ἤτησας καὶ ἔλαβες· ἐζήτησας καὶ εὗρες· ἔκρουσας καὶ ἠνοίχθη σοι· καὶ τῆς χάριτος καὶ τῆς δωρεᾶς τοῦ Θεοῦ ἀπήλαυσας. Καὶ σὺ τοίνυν τοῖς αἰτοῦσι καὶ ζητοῦσι καὶ κρούουσι μὴ κλείσῃς τὰ σπλάγχνα· ἕως καιρὸν ἔχεις ἐργάζου τὸ ἀγαθὸν πρὸς πάντας ἀνθρώπους, μάλιστα πρὸς τοὺς θλιβομένους καὶ τοὺς πένητας· τοῖς μὲν θλιβομένοις βοηθῶν, τοῖς δὲ πεινῶσι καὶ γυμνητεύουσι τὰς τροφὰς καὶ τὰ ἐνδύματα τὰ χρειώδη παρέχων. Γνῶθι σαυτὸν, ὅτι ἄνθρωπος εἶ καὶ ὁμοιοπαθὴς τοῖς λοιποῖς, ἐν μηδενὶ διενηνοχὼς εἰμὴ μόνον τὴν ἀξίαν, ἣν ὁ μόνος καὶ αἰώνιος βασιλεὺς τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ δημιουργὸς τῶν ἁπάντων καὶ Κύριος καὶ Θεὸς εἰς εὐεργεσίαν καὶ σωτηρίαν τῶν ὑπ᾽αὐτοῦ(2)κτισθέντων ἀνθρώπων ἐχαρίσατο. Γνῶθι οὖν σαυτὸν καὶ μακάριος ἔσῃ. Ταῦτα δὲ ἀκούσας ὁ βασιλεὺς ἀπὸ τοῦ στόματος τοῦ ἁγίου, ὡς ἀπὸ στόματος Θεοῦ ἀκούσας, μετὰ πάσης σπουδῆς (3) καὶ προθυμίας καὶ δαψιλείας πολλῆς, ἔτι τοῦ ἁγίου τὴν Ἀντιοχέων πόλιν ἐνδημοῦντος, πάντα ἐπλήρωσε· καὶ γὰρ πᾶσι τοῖς δεομένοις (4) πᾶσαν χρείαν τροφῆς τε καὶ ἐνδυμάτων μετὰ πάσης, ὡς εἴρηται, δαψιλείας παρεῖχε,μνήμην ἀγαθὴν καὶ αἰωνίαν(5)ἑαυτοῦ ἐν τούτῳ καταλιπών. Ἐν δὲ τῷ συντάσσεσθαι τὸν τοῦ Θεοῦ θεράποντα τῷ βασιλεῖ, ὁ βασιλεὺς χρυσίον ἱκανὸν ἐνέγκας ἐδίδου τῷ απα-

(1) αὐτοῦ (2) καὶ Κύριος καὶ ἐξουσιαστὴς των γηγενῶν καὶ πάντων τῶν ὑπ᾽ αὐτοῦ (3) ταῦτα ἀκούσας ὁ βασιλεὺς ἀπὸ στόματος τοῦ ἁγίου ἐδόξασε τὸν Θεὸν μετὰ πάσης σπουδῆς (4) τοῖς πορευομένοις καὶ δεομένοις (5) αἰώνιον.

θεῖ τούτῳ καὶ θεοφόρῳ ἀνδρί. Ὁ δὲ τοῦ Θεοῦ μέγας ἀρχιερεὺς ἀνένευσε παντελῶς τοῦ καταδέξασθαι λαβεῖν τι τοιοῦτον. Ὁ δὲ βασιλεὺς παρεκάλει τὸν ἅγιον, λέγων· δέξαι, πάτερ, ταύτην τὴν εὐλογίαν διὰ τῆς ἐμῆς χειρὸς ἣν σὺ τῇ σῇ πρὸς τὸν Θεὸν προσευχῇ ἰάσω. Μὴ οὖν πάτερ ἀποστραφῇς με, μᾶλλον δὲ τὴν χεῖρά μου ταύτην τὴν ἰαθεῖσαν. Ἔλεγε δὲ ὁ ἅγιος τῷ βασιλεῖ· Μὴ μίσει με φιλοῦντά σε, μὴ εἰδὼς (1) τὰ τοιαῦτα πράγματα. Ἦλθον γὰρ πρὸς σέ, βασιλεῦ, περάσας τὸ τοιοῦτον πέλαγος, χειμῶνος τοιούτου γενομένου ἐν τῇ θαλάσσῃ, ἀνέμου τε μεγάλου(2) πνεύσαντος, καὶ τῶν ὑδάτων ταρασσομένων, ὅπως ἴδω σε καὶ φανερωθῇ σοι τὰ μεγαλεῖα τοῦ Θεοῦ, οὐχὶ δὲ χρυσὸν παρὰ σοῦ λαβεῖν, τὸν πολλάκις βλάπτοντα τοὺς ἀνθρώπους· καὶ ἵνα δείξω σοι φοβεῖσθαι τὸν Θεὸν καὶ ποιεῖν αὐτοῦ τὰ προστάγματα καὶ πιστεύειν εἰς αὐτὸν ὀρθοδόξως· γνῶθι οὖν Πατέρα, (3) Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τρισυπόστατον καὶ ὁμοούσιον θεότητα· χρυσὸν δὲ ἐγὼ λαβεῖν(4) οὐ θέλω. Ἐπιμένοντος(5) δὲ τοῦ βασιλέως καὶ παρακαλοῦντος, καὶ τοῦ ἁγίου λοιπὸν τὴν παράκλησιν μὴ θέλοντος ἀλογῆσαι, ἐδέξατο. Συνταξάμενος οὖν τῷ βασιλεῖ καὶ ἀσπασάμενος αὐτόν, ἐξῆλθεν ἀπ' αὐτοῦ, ἄχθος μέγα ἔχων τὸ δοθὲν αὐτῷ χρυσίον ὑπὸ τοῦ βασιλέως. Ὅπερ χρυσίον, ἐξελθὼν οὗτος ὁ ἀληθῶς ἀφιλάργυρος τοῦ Θεοῦ ἄνθρωπος, ὁ τὸν ὅρον τῆς ἀφιλαργυρίας ἐν αὐτῷ ἐμπράκτως δείξας, τοῖς χρῄζουσι παρεῖχε. Καὶ γὰρ ἠθέλησε τὸ μὴ ἔχειν ὡς θέλει τις τὸ ἔχειν. Πάντα γὰρ τὰ πάθη ἐκ τῆς ἑαυτοῦ καρδίας καὶ τοῦ σώματος ἐκβαλὼν τῇ δυνάμει τοῦ ἁγίου πνεύματος, πάντα κατεπάτησεν ἐν πάσῃ ἀληθείᾳ. Ἐξελθὼν τοίνυν ἀπὸ τοῦ βασιλέως, ἐλογίσατο πᾶσι τοῖς τοῦ βασιλέως ὑπηρέταις τὰ ὑπὸ τοῦ βασι-

(1) εἰδότα(2) *μεγάλου*, λείπει (2) αἱ λέξεις, *εἰς αὐτὸν ὀρθοδόξως. Γνῶθι οὖν*, λείπουσι (3) λαβεῖν παρὰ σοῦ (4) Ἀπὸ τοῦ μέρους τούτου τέσσαρες σελίδες τοῦ ἐν τῇ Μαρκιανῇ βιβλιοθήκῃ χειρογράφου εἰσὶ λίαν ἐφθαρμέναι, ὥστε ἐλάχιστα ἐξ αὐτῶν δύνανται νὰ ἀναγνωσθῶσι, μέχρι τοῦ ἐν τῷ ιϐ'. κεφαλ. «οἶδα γὰρ θεοτίμητε πάτερ», κατὰ τὸν Σεβασμ. Νικοκάϐουραν.



λέως δοθέντα αὐτῷ χρήματα παρασχεῖν καὶ τοῦ ἄχθους ἀπαλλαχθῆναι, ὅπερ καὶ πέπραχε. Πάντα γὰρ διέδωκεν αὐτοῖς, διδάσκων αὐτοὺς ἅμα εὐχαριστεῖν τῷ Θεῷ καὶ μετὰ φόβου διάγειν, ἐκδεχομένους τὴν δευτέραν παρουσίαν, ὀφείλοντας τῶν ἰδίων ἔργων τὴν ἀνταπόδοσιν ὑπομεῖναι. Ἐδόξαζε δὲ ἕκαστος τὸν Θεὸν ἐπὶ τῇ τοιαύτῃ τοῦ ἁγίου ἀπαθείᾳ, καὶ ᾠκοδομοῦντο ἅπαντες ὡς ἐκ τούτου καὶ κατεφρόνουν τῶν ἐν τῷδε τῷ βίῳ. Ἀκούσας δὲ ὁ βασιλεὺς ἅπερ ὁ ἅγιος ἐποίησεν ἐπὶ τῇ τοῦ χρυσίου μεταδόσει, καὶ θαυμάσας ἔλεγεν ὅτι, ἀληθῶς οὐκ ἔστι προσωπολήπτης ὁ Θεός, ἀλλὰ παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν τὰς δωρεὰς αὐτοῦ καταπέμπει. Ἐζήλωσε δὲ τοῦτο τὸ ἀγαθὸν καὶ ὁ βασιλεὺς καὶ πάντας τοὺς δεομένους χήρας τε καὶ ὀρφανοὺς καὶ πτωχοὺς περιεποιήσατο. Τοὺς δὲ τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν ἱερεῖς καὶ λειτουργοὺς καὶ λοιποὺς ὑπηρέτας μηδαμῶς ὑπὸ μηδενὸς παρενοχλεῖσθαι ἐκέλευσεν, εἰπὼν μηδένα τούτων ὑποφόρους τελῶν εἶναι ἢ γενέσθαι, ἀλλὰ σχολάζειν τῇ προσευχῇ καὶ τῇ λειτουργίᾳ, καὶ ἁπλῶς καὶ ἀνενοχλήτους καὶ ἀπερισπάστους διάγειν τοὺς τοῦ Θεοῦ λειτουργοὺς ἐκέλευσεν. Ὁ δὲ ἅγιος τοῦ Θεοῦ ἀρχιερεὺς Σπυρίδων, πάντα, ὡς εἴρηται, διαδιδοὺς καὶ τὴν τούτων μέριμναν καὶ φροντίδα ἀποτιναξάμενος, τρέχων γυμνὸς τῶν γηΐνων πραγμάτων, ἐκ τῶν βασιλικῶν ἐξελθὼν περιβόλων, ἔρχεται πρὸς τὸν ἴδιον ξενοδόχον, πᾶσαν φροντίδα χρηματικὴν ὁ ἀληθῶς ἀφιλάργυρος τοῦ Θεοῦ ἄνθρωπος ἀφ' ἑαυτοῦ ἀποϐαλόμενος.

Κεφ. ιϐ'. Ἐλθὼν δὲ ὁ χριστοφόρος οὗτος ἀνὴρ ἀπὸ τῶν βασιλείων εὑρίσκει γυναῖκά τινα Βρουτίδα ἱσταμένην καὶ ἐκδεχομένην τὴν τοῦ ἁγίου παρουσίαν—αὕτη δὲ ἡ γυνὴ ἦν στρατιώτου τινὸς— καὶ τὸ ἴδιον τέκνον ἐν χερσὶ νεκρὸν βαστάζουσαν. Ἥτις βάρβαρος γυνὴ θεασαμένη τὸν τοῦ Θεοῦ δοῦλον, προσέρριψε τοῖς αὐτοῦ ποσὶ τὸ παιδίον, καὶ αὕτη προσπεσοῦσα αὐτῷ βαρβάρῳ φωνῇ προσεκάλει ἐλεηθῆναι. Ὁ δὲ ἅγιος εἶχε διά-

κονόν τινα μεθ' ἑαυτοῦ, καθὼς ἀνωτέρω εἴρηται, τῆς κατ' αὐτὸν ἁγίας τοῦ Θεοῦ ἐκκλησίας τυγχάνοντα, 'Αρτεμίδωρον ὀνόματι, κάλλιστον ὄντα πνευματικὸν, ὅστις κρυπτὴν εἶχε πνευματικὴν ἐργασίαν, μηδενὶ ἀνθρώπῳ θέλων φαίνεσθαι διὰ τὴν καινὴν (1) καὶ ματαίαν τῶν ἀνθρώπων δόξαν. Λέγει ἐκ πολλῆς ἄγαν ταπεινώσεως ὁ ἅγιος πρὸς 'Αρτεμίδωρον τὸν διάκονον· τί ποιοῦμεν τῷ νεαρῷ τούτῳ παιδίῳ ; Πρὸς ταῦτα δὲ ἀπεκρίθη ὁ τίμιος ἐκεῖνος διάκονος, ἅπερ καὶ ἔδει καὶ ἔπρεπε καὶ τὸν ἅγιον παρὰ διακόνου ἀκοῦσαι καὶ τὸν τιμιώτατον διάκονον εἰπεῖν. Ἐπικάλεσαι, φησί, τὸν ζωοδότην Χριστόν· τὴν γὰρ τέχνην, τίμιε πάτερ, ἐπίστασαι, ἥτις οὐ μόνον βασιλέα οἶδεν ἰάσασθαι, ἀλλὰ καὶ πάντας ἀνθρώπους, μάλιστα πτωχοὺς καὶ ἀπεριστάτους, καὶ τάχα πλείω τοῖς πτωχοῖς παρέχεται. Οἶδα γάρ, θεοτίμητε πάτερ, τῶν ἐπὶ σοὶ (2) θείων χαρισμάτων τὴν ἐνέργειαν. Διὸ δυσωπῶ σε, παρακάλεσον τὸν δεσπότην Χριστὸν, τὸν ἐγείραντα τοῦ ἀρχισυναγώγου ἐκ νεκρῶν τὸ θυγάτριον, τὸν εἰπόντα, *Ταλιθὰ, κοῦμι*· πάρεστι γὰρ ὁ τὸ αἴτημά σου (3) πληρῶν Θεός. Ταῦτα ἀκούσας ὁ ἅγιος παρὰ τοῦ τιμίου διακόνου 'Αρτεμιδώρου, καὶ σύνδακρυς γενόμενος καὶ ἐπὶ πολλὴν τὴν ὥραν τοῖς δάκρυσι τὴν γῆν καταρδεύσας, ἀνεβόησεν οὗτος ὁ καθαρὸς τῇ καρδίᾳ πρὸς τὸν ἴδιον δεσπότην Χριστὸν, ὅπως ἐπιστρέψῃ τὴν ψυχὴν τοῦ παιδίου. Ὁ δὲ ἀγαθὸς Κύριος καὶ τῶν θαυμασίων Θεὸς εἰσήκουσε τοῦ ἰδίου δούλου, καὶ τὴν τοῦ παιδίου (4) ψυχὴν ἐκάλεσεν ἐν τῷ σώματι ἀποδοθῆναι. Τὸ δὲ παιδίον ἅμα τῇ τοῦ δικαίου προσευχῇ ἔζησε καὶ ἤρξατο κλαίειν. Θεασαμένη δὲ ἡ μήτηρ τοῦ παιδίου ζωωθὲν τὸ παιδίον ἅμα τῇ τοῦ δικαίου προσευχῇ (5) καὶ κλαυθμηριζόμενον, ἐκπλαγεῖσα ὑπὸ τῆς πολλῆς χαρᾶς, πεσοῦσα εἰς τὸ ἔδαφος, ἀπέθανεν. Ὁ δὲ ἀληθῶς ταπεινόφρων δοῦλος τοῦ Θεοῦ Σπυρίδων, τοῦτο θεα-

(1) ἴσως *κενὴν* Σ. Π. (2) ἐν σοὶ (3) πάρεστι γὰρ τὸ θέλημά σου (4) παιδὸς (5) *ἅμα κλπ.* λείπουσι.



σάμενος καὶ ἐκπλαγεὶς, εἶπε πρὸς τὸν διάκονον 'Αρτεμίδωρον· τί ποιοῦμεν δοῦλε τοῦ Χριστοῦ (1) διάκονε ; πόθεν μοι ἦλθεν αὕτη ἡ γυνὴ μετὰ τοῦ ἑαυτῆς βρέφους ; Ἰδοὺ δὲ τῇ τοῦ Χριστοῦ δυνάμει καὶ χάριτι τὸ παιδίον ἀνέστη· ἦλθε δὲ ἡμῖν ἄλλη συμφορὰ, τῆς τούτου μητρὸς ἀπὸ τῆς χαρᾶς τῆς τοῦ τέκνου ἀναστάσεως θανούσης. Ὁ δὲ τιμιώτατος διάκονος εἶπε πρὸς τὸν θεοφόρον Σπυρίδωνα, μειδιάσας τῷ προσώπῳ· Οὐδὲ τοῦτο ξένον, ἅγιε πάτερ, τῶν σῶν ἔργων· τούτων γὰρ τῶν πραγμάτων τὴν ἐμπειρίαν παρὰ τοῦ τῶν ὅλων δεσπότου καὶ Σωτῆρος (2) εἴληφας. Χρυσίον ἢ ἀργύριον οἶδά σε ἐπὶ τῆς γῆς μὴ κεκτημένον· Χριστὸν δὲ ἐν τῇ καρδίᾳ σου οἶδά σε (3) ἔχοντα ἀεί. Οὐκ ἔστι τοῦτο τὸ πρᾶγμα χρυσίῳ παρισῶσαι ἢ πάλιν ἐν τούτῳ μετεωρίζεσθαι· ἔστι γάρ σοι διὰ τοῦ Θεοῦ τῆς αἰωνίου αὐτοῦ ζωῆς τὰ πλούσια δωρήματα. Πάντα γὰρ ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν δώῃ σοι ὁ Θεὸς, ἐπικαμπτόμενος ἀεὶ ταῖς ἱκεσίαις σου. Οἶδε γὰρ αὐτὸς ὅτι δωρεὰν καὶ σὺ τοῖς χρῄζουσι παρέχεις· ἕτοιμός ἐστιν ἀεὶ ὁ Θεὸς, πάτερ, εἰσακοῦσαι τῆς φωνῆς σου καὶ τὰ αἰτήματά σου παρασχεῖν σοι, τῷ ἀεὶ ὑγιῶς τὰς ἐντολὰς αὐτοῦ τελοῦντι. Πολλάκις ᾔτησας καὶ τοσάκις ἔλαβες. Καὶ νῦν, τίμιε πάτερ, τοῦτο αἰτοῦντί σοι παρέχει σοι ὁ φιλάνθρωπος Θεὸς· καὶ ὡς ἤγειρε τὸ παιδίον αὐτῆς, οὕτως ἐγερεῖ καὶ τὴν μητέρα τοῦ παιδίου. Ταῦτα 'Αρτεμιδώρου τοῦ διακόνου εἰπόντος μετ' εὐλαβείας, βρέχων τὴν γῆν τοῖς δάκρυσιν ὁ τοῦ Θεοῦ θεράπων, ἀτενίσας εἰς τὸν οὐρανὸν καὶ προσευξάμενος εἶπεν· Υἱὲ τοῦ Θεῦ τοῦ ζῶντος, μονογενὲς Λόγε τοῦ Πατρὸς, Κύριε Ἰησοῦ Χριστὲ, ἔγειρον τὴν γυναῖκα ταύτην. Καὶ ταῦτα εἰπὼν, κρατήσας τῆς χειρὸς τῆς γυναικὸς, ἀνέστησεν αὐτὴν παραχρῆμα καὶ παρέστη (4) ἐνώπιον αὐτοῦ καὶ πάντων τῶν ἐκεῖ ὄντων (5) ζῶσα. Καὶ λαβὼν τὸ παιδίον ἔδωκεν αὐτὸ εἰς

(1) τοῦ Θεοῦ (2) σωτῆρος ἡμῶν (3) *οἶδά σε*, λείπει (4) παρέστησεν. (5) πάντων τῶν παρόντων.

τὰς ἀγκάλας τῆς μητρὸς ζῶν καὶ κλαυθμηριζόμενον. Ταῦτα δὲ τελέσας ὁ τοῦ Θεοῦ ἄνθρωπος τὰ παράδοξα προσηύξατο τῷ Θεῷ λέγων· Κύριε ὁ Θεός μου, εἰσάκουσόν μου τοῦ δούλου σου, ὅπως μηδεὶς τῶν ἀνθρώπων γνῷ παρὰ τῆς γυναικὸς ταύτης τὰ γενόμενα, Δέσποτα, παρὰ σοῦ θαυμάσια· λήθην δὲ παρασχεῖν καταξίωσον τῇ παθούσῃ παρὰ σοῦ τὴν χάριν καὶ τὴν εὐεργεσίαν τοῦ τοιούτου θαύματος. Ταῦτα δὲ καθ' ἑαυτὸν ὁ ἅγιος ἐκ πολλῆς ταπεινώσεως προσευξάμενος πρὸς τὸν Θεόν, λέγει τῷ Ἀρτεμιδώρῳ· Εἰπὲ τῇ γυναικί : φύλαξον παρὰ σεαυτῇ τὸ γενόμενον θαῦμα, καὶ μηδενὶ ἐξείπῃς. Ἡρμήνευσε δὲ αὐτὰ διά τινος εὐλαβοῦς ἀνθρώπου τῇ γυναικὶ, βαρβάρῳ οὔσῃ, ὁ διάκονος. Ἡ δὲ τὸν λόγον διὰ τοῦ ἑρμηνέως τῇ ρωμαϊκῇ γλώσσῃ δεξαμένη, λέγει· Ὅτι μὲν εἶδον τὸν τοῦ Θεοῦ ἄνθρωπον καὶ ἐπίσταμαι αὐτὸν δίκαιον καὶ δοῦλον τοῦ Θεοῦ ὄντα, σαφῶς γινώσκω, τί δὲ ἔπαθον οὐκ οἶδα, οὐδὲ κατέχω τίποτε τοιοῦτον εἰς τὴν ἐμὴν καρδίαν. Ὁ δὲ διάκονος Ἀρτεμίδωρος, ἅμα τῷ ἀνελθεῖν αὐτὸν σὺν τῷ δικαίῳ ἀπὸ Ἀντιοχείας, πρεσβύτερος γεγονὼς, διηγήσατο ταῦτα (1) πάσῃ τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ, λέγων· ὅτι, ἐν Ἀντιοχείᾳ ἐπ' ὄψεσί μου ταῦτα γεγόνασιν ὑπὸ τοῦ ἁγίου Σπυρίδωνος τὰ παράδοξα θαύματα.

Κεφ. ιγ'. Μετὰ τὴν ἀπὸ τῆς Ἀντιοχείας ἐπάνοδον τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος (2) ἦλθέ τις ἀγοραστὴς, θέλων ἀγοράσαι παρ' αὐτοῦ αἶγας ἐκ τοῦ ποιμνίου αὐτοῦ, οὗ εἶχε, θέλων πραγματεύεσθαι εἰς αὐτάς. Ὅστις καὶ ἐν συνηθείᾳ ἦν τοῦ ἁγίου διαφόρως παρ' αὐτοῦ ἀγοράσας καὶ πραγματευσάμενος. Ἐλθὼν οὖν οὗτος εἰς τὸν οἶκον τοῦ θεοσόφου (3) ἀνδρὸς, καὶ ποιήσας μετὰ τοῦ δικαίου τῶν αἰγῶν τὸ τίμημα, ἔθηκε τὴν τούτου τιμὴν εἰς τὸν οἶκον τοῦ σεβασμίου πατρός (4). Ἐβούλετο δὲ ἑκατὸν αἶγας ἀγοράσαι τὴν δὲ τιμὴν ἐννενήκοντα ἐννέα ἦν ὁ μακελλάριος δοὺς, τῆς μιᾶς αἰγὸς τὸ τίμημα ἀποστερῆσαι βουλόμενος τὸν πραγματευτὴν ὁ προγνώστης καὶ σημειοφόρος πατὴρ ἡμῶν. Εἴσελθε, τέκνον, καὶ ὅσων αἰγῶν τὸ τίμημα ἔδωκας, (1) τοσαύτας λάβε. Ὁ δὲ μὴ νοήσας τὸ λεχθὲν αὐτῷ παρὰ τοῦ προφήτου καὶ σημειοφόρου πατρὸς ἡμῶν, τῇ ἐπιθυμίᾳ τῆς πλεονεξίας νικηθεὶς, ὡς τῶν ἑκατὸν (2) τὴν τιμὴν τεθεικὼς, τὰς ἑκατὸν αἶγας ἔλαβε Ταύτας δὲ ἐκ τῆς μάνδρας ἐξενέγκαντος (3) αὐτοῦ, μία τούτων δρομαία εἰς τὴν μάνδραν ἐπέστρεψεν. Ὁ δὲ πλεονέκτης ἐκεῖνος ἐπέστρεφε, θέλων αὐτὴν ὡς ἰδίαν λαβεῖν. Πάλιν οὖν ταύτην (4) ἐξενέγκας ὡς αἰχμάλωτον, ἀπήλαυνε ἐπὶ τὰς ἐννενήκοντα ἐννέα, ὁ μὴ ζητῶν τὸ πεπλανημένον πρόβατον, ἀλλὰ τὸν ποιμένα πλεονεκτῆσαι θέλων· αὖθις οὖν πάλιν ἐπέστρεψε. Τοῦτο οὖν τοῦ αἰγιδίου πολλάκις ποιήσαντος, περικακήσας ὁ πλεονέκτης, λαβὼν τὴν ἀπλανῆ αἶγα ὁ πλανώμενος, ἐν τοῖς ὤμοις(5) ἐβάσταζεν, ἔκραζε δὲ μέγα σφόδρα (6) τὸ αἰγίδιον, τοῦ πλεονέκτου μηνύον τὸ ἄδικον καὶ τοῖς κέρασι τὴν κεφαλὴν αὐτοῦ πλῆττον, ὥστε θαυμάζειν πάντας τοὺς βλέποντας τὸν τοιοῦτον κλαυθμὸν τοῦ ἀλόγου. Ὁ δὲ ἀπαθὴς καὶ μακρόθυμος καὶ συμπαθέστατος γέρων λέγει τῷ ἀγοραστῇ· βλέπε (7), τέκνον, μή ποτε οὐκ ἔδωκας τὴν τιμὴν αὐτοῦ καὶ διὰ τοῦτο οὕτως κράζει καὶ σπαράττεται τὸ ἄλογον. Ὁ δὲ ἐν συναισθήσει γενόμενος καὶ νοήσας ὅτι ἐγνώσθη τὰ κατ' αὐτὸν, μετάνοιαν λαβὼν (8) τῷ σημειοφόρῳ πατρὶ, καὶ καὶ συγγνώμην αἰτήσας παρ' αὐτοῦ τοῦ ἐγχειρήματος καὶ τῆς ἁμαρτίας, δοὺς τὸ τίμημα τῆς ἄλλης αἰγὸς, οὕτω μετὰ πάσης σπουδῆς καὶ ἡσυχίας τοῖς ἐννενήκοντα ἐννέα συνηνώθη. Καὶ θαυμάσας ὁ ἀγοραστὴς τὸν Θεὸν ἐδόξαζε, τῆς κακῆς ἐπιθυμίας τὴν διόρθωσιν δεξάμενος.

Κεφ. ιδ'. Κώμη τίς ἐστιν, *Ἐρυθρὰ* καλουμένη, ὑπὸ Κωνσταντίαν τὴν μητρόπολιν τελοῦσα, ὡς ἀπὸ σημείων τριάκοντα

(1) ταῦτα πάντα (2) τοῦ ἁγίου Σπυρίδωνος (3) θεοφόρου (4) ἀνδρός.



(1) δέδωκας (2) ἑκατὸν αἰγῶν (3) ἐξενεγκόντος (4) ταύτην δὲ πάλιν (5) ἐπ' ὤμων (6) μεγαλοφώνως (7) *βλέπε*, λείπει (8) βαλών.

διακειμένη τῆς φιλοχρίστου λαμπρᾶς μητροπόλεως. Ἐν ᾗ χρείας τινος ἕνεκα ὁ τοῦ Θεοῦ θεράπων παραγενόμενος, εἰσῆλθεν ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ προσεύξασθαι. Ἐπέτρεψε δέ τινι τῶν διακόνων τῆς αὐτῆς κώμης σεμνοτέραν (1) εἰπεῖν εὐχὴν, διὰ τὴν ἐπικειμένην τοῦ καύσωνος ὥραν,. ὁ δὲ κελευσθεὶς διάκονος τὴν εὐχὴν ποιῆσαι παρελογίσατο τὴν ἐντολὴν τοῦ ἁγίου πατρὸς, τῷ τῆς κενοδοξίας πάθει, σφοδρῶς ἐμπαιχθεὶς καὶ ἐπιδεικτικῶς ταῖς εὐχαῖς χρώμενος. Ἐπὶ πλεῖον δὲ τοῦ διακόνου ἐξ ἀνθρωπαρεσκείας τὴν εὐχὴν μηκύνοντος καὶ τοῦ ἁγίου πατρὸς παρακούσαντος (2) ἐπιστραφεὶς ὁ ἅγιος καὶ μετ' ὀργῆς ἐμβλέψας (3) ὁ φύσει πρᾳότατος, εἶπε τῷ διακόνῳ· σιώπα, πεφίμωσο. Τούτου δὲ τοῦ λόγου ὑπὸ τοῦ σημειοφόρου πατρὸς ἡμῶν Σπυρίδωνος (4) ῥηθέντος εὐθέως ὁ λόγος ἔργον ἐγένετο. Ὁ γὰρ διάκονος ὁ πολύλογος, κατὰ τὴν ἐπιτίμησιν τοῦ σεβασμίου πατρὸς, ἄλαλος ἐγένετο. Μετὰ οὖν τὸ πληρῶσαι τὸν ἅγιον τὴν εὐχὴν, προσπίπτει τούτου τοῖς ποσὶν, ὁ πρὸ ὀλίγου ἐκ κενοδοξίας διάκονος (5) μετὰ δακρύων, ἀλγῶν τὸ στόμα, καὶ ἄσημον ἦχον ἀποτελῶν καὶ οὐ φωνὴν ἔναρθρον· ὥστε πάντας ἐκπλαγῆναι καὶ φόβῳ συσχεθῆναι τοὺς συμπαρόντας ἐπὶ τῇ δυνάμει τοῦ λόγου τοῦ σεβασμίου (6) πατρός. Πάντες δὲ οἱ συγγενεῖς καὶ φίλοι τοῦ διακόνου λύπῃ βαρυτάτῃ κατεσχέθησαν ἐν τῇ τοιαύτῃ τάξει καὶ ἀτιμίᾳ θεωρήσαντες (7) τὸν ἴδιον αὐτῶν φίλον καὶ συγγενῆ διὰ τῆς τοῦ δικαίου ἐπιτιμίας γεγονότα, καὶ ὡς ἐκ τούτου λοιπὸν τῆς ἁγίας λειτουργίας στερηθέντος, προσελθόντες μετὰ πολλοῦ φόβου τὸν ἅγιον παρεκάλουν λῦσαι τῆς τοιαύτης δικαίας συμφορᾶς τὸν ἐκ παρακοῆς παραβάντα διάκονον. Ὁ δὲ ἅγιος τῷ προορατικῷ θεωρῶν ὄμματι τὸν διάκονον ἔτι χρῄζοντα μικρῆς παιδείας, ἔλυσεν ἀπὸ μέρους, ἔτι μειναν-

(1) διορθωτ. ἴσως *συντομωτέραν* (2) *καὶ τοῦ ἁγ. πατρὸς παρακούσαντος*, λείπει (3) ἐμβλέψας αὐτῷ (4) *Σπυρίδωνος* λείπει (5) πολύλογος διάκονος (6) ἁγίου (7) ὁρῶντες.



των τῶν τῆς γλώσσης δεσμῶν ἀναχαιτίσας τὴν ταύτης ταχεῖαν λαλιάν, (1) διὰ τῆς ἐντεθείσης αὐτῷ παιδείας ὑπὸ τοῦ Ἁγίου. Ὁ δὲ διάκονος οὐκέτι ἀκωλύτως λαλεῖν δυνάμενος καθ' ἃ καὶ τὸ πρότερον, ἀλλὰ ψελλίζων πως (2), ἐσωφρονίσθη, διὰ ταύτης τῆς ὑπομνήσεως λαβὼν διόρθωσιν, καὶ τοῖς μετέπειτα γενόμενος τύπος τοῦ μὴ παρακούειν (3) ἐντολὴν πατρός.

Κεφ. ιε'. Εἰσῆλθέ ποτε ὁ πνευματικὸς οὗτος ἀνὴρ καὶ τοῦ Θεοῦ ἀρχιερεὺς (4) κατὰ τὸ σύνηθες ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ τῆς ἑαυτοῦ πόλεως, τὴν ἑσπερινὴν ὑμνῳδίαν ἀναπέμψαι τῷ τῶν ὅλων Θεῷ. Συνέβη δὲ ἐκ τοῦ Θεοῦ λαὸν μὴ ἀπαντῆσαι ἐν τοῖς λυχνικοῖς ὕμνοις. Οἱ δὲ σὺν αὐτῷ ὄντες συνεβούλευον ἵνα μὴ ἅπτωσι πολλὰς κανδήλας, μηδενὸς ὄντος ἐν Ἐκκλησίᾳ, ἀρκούσης τῆς μιᾶς κανδήλας πρὸς τοὺς ὄντας. Ὁ δὲ θεοφόρος οὗτος καὶ τὸν νοῦν πεφωτισμένος πατὴρ ἡμῶν, ἐκέλευσε πλείονα φῶτα μᾶλλον (5) ἀνάπτειν εἰς τὴν λειτουργίαν τῆς τοῦ Θεοῦ ἑσπερινῆς δοξολογίας· ἔλεγε γάρ, ἄρτι μᾶλλον ἄξιόν ἐστι φαιδροτέραν ἀποδειχθῆναι διὰ τῆς τῶν φώτων λαμπρότητος τὴν τοῦ Θεοῦ Ἐκκλησίαν. Εἰσελθὼν δὲ κατὰ τὸ ἔθος καὶ στὰς κατὰ πρόσωπον τοῦ ἁγίου (6) θυσιαστηρίου, δέδωκεν εἰρήνην. Καὶ μὴ ὄντος λαοῦ τοῦ ὀφείλοντος ὑπακοῦσαι (7) τῷ διακόνῳ «καὶ τῷ πνεύματί σου», ἐγένετο συμφωνία ἀκουομένη ὡς ὄχλων πολλῶν καὶ ἀναριθμήτων μυριάδων ἀγγέλων, (8) ὑπακουόντων αὐτῷ καὶ λεγόντων «καὶ τῷ πνεύματί σου». Ὡς δὲ ἡ εὐχὴ ὑπὸ τοῦ διακόνου ἐπετελεῖτο ἐκτενῶς μετὰ πολλοῦ τοῦ φόβου, πάλιν τῶν ἁγίων ἐκείνων καὶ ἀναριθμήτων δυνάμεων μεγάλη βοὴ πᾶσιν ἐξηκούετο λέγοντες (9) τὸ, Κύριε ἐλέησον. Πάντες ἀκούσαντες καὶ ἐπὶ τῷ παραδόξῳ τῆς βοῆς ἐκπληττόμενοι ἅμα καὶ θαυμάζοντες, δρομαίως κατελάμβανον ἅπαντες ὁμοθυμαδὸν τὴν

(1) γοργολογίαν (;) (2) *πῶς*, λείπει (3) παραβαίνειν (4) μέγας ἀρχιερεὺς (5) φῶτα ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ μᾶλλον (6) *ἁγίου*, λείπει (7) τοῦ ἀκοῦσαι ὀφείλοντος (8) ἁγίων ἀγγέλων (9) βοώντων.

ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν, τρέμοντες καὶ φοβούμενοι, ὅπως ἴδωσι τίς ἡ τοιαύτη βοή, καὶ ἐκ τίνων πρὸς τὸν Θεὸν ἀναφέρεται. Ἦν δὲ ξένον θέαμα ἰδεῖν ἐν τῇ πόλει τρέχοντας (1) πάντας ἀνθρώπους, πᾶσαν ἡλικίαν, οὐ μόνον ἀνδρῶν ἀλλὰ καὶ γυναικῶν, καὶ πάντων δὲ μία καὶ μεγάλη βοὴ ἦν τῶν ἐν τῇ ἐκκλησίᾳ συντρεχόντων, τό, Κύριε ἐλέησον, λεγόντων. Καὶ πρὶν ἢ μὲν εἰς τὴν ἐκκλησίαν εἰσελθεῖν, ἔτι ἔξω ὄντων τῶν λαῶν, ἤκουον τῆς φωνῆς (2) ἐκείνων τῶν ἁγίων δυνάμεων, ὡς ἐκ πολλοῦ ὄχλου (3) γινομένης. Εἰσελθόντων δὲ ἐν αὐτῇ οὐδένα εἶδον, εἰμὴ μόνον τὸν δίκαιον καὶ τοὺς σὺν αὐτῷ, (4) τὴν τοῦ Θεοῦ λειτουργίαν ἐπιτελοῦντας. Πάντων δὲ ἐξισταμένων καὶ θαυμαζόντων καὶ τρεχόντων ἀπὸ τοῦ πολλοῦ φόβου (5), ἠρώτων τοὺς σὺν τῷ ἁγίῳ ἐν τῇ ἐκκλησίᾳ ὄντας περὶ τούτου. Οἱ δὲ πρὸς αὐτοὺς πάλιν ἀπεκρίθησαν, ὅτι πλήθη ἁγίων ἀγγελικῶν δυνάμεων ἐφαίνοντο, σὺν τῷ δικαίῳ προσευχομένων ἐπὶ πολλὰς τὰς ὥρας. Ἐπληροῦτο δὲ (6) καὶ τὸ γεγραμμένον ἐν τῷ μακαρίῳ Δαβίδ, (7) «φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων», καὶ πάλιν, «διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορταζόντων». Ἦν γὰρ ἰδεῖν τοὺς ἁγίους (8) ἅμα τῷ Θεοῦ ἀρχιερεῖ εὐφραινομένους καὶ ἀγαλλιωμένους ἐπὶ τῇ τοῦ Θεοῦ δοξολογίᾳ. Ἀκούσαντες δὲ οἱ λαοὶ ταῦτα καὶ θαυμάσαντες, φόβῳ ἅμα καὶ ἀγαλλιάσει (9) ἐπληροῦντο· καὶ οὕτως ἀνεχώρουν οἴκαδε, τὸν Θεὸν δοξάζοντες· καὶ ἀπὸ τότε ἐδιδάχθησαν μηκέτι καταφρονεῖν τῆς τοῦ Θεοῦ λειτουργίας (10), ἀλλὰ μετὰ πάσης σπουδῆς καὶ φόβου Θεοῦ συνέρχεσθαι ἐν τῷ ναῷ αὐτοῦ, καὶ ἐπιτελεῖν τὴν πρέπουσαν χριστιανοῖς λειτουργίαν, ἕκα-

(1) τρέχοντας ὁμοῦ (2) βοῆς (3) πολλῶν ἤχων (4) εἰμὴ μόνον τὸν διάκονον σὺν τῷ δικαίῳ καὶ τοὺς σὺν αὐτῷ (5) μεγάλου φόβου (6) ἐπληροῦτο δὲ ἐνταῦθα (7) *ἐν τῷ μακ. Δ.*, λείπει (8) ἁγίους ἀγγέλους (9) φόβουτε καὶ ἀγαλλιάσεως (10) τὴν τοῦ Θεοῦ Ἐκκλησίαν (;).



στος ἐν τῷ ἰδίῳ τάγματι. Οὐ μὴν ἀλλὰ καὶ οἱ σὺν τῷ ἁγίῳ ὄντες ἐν τῇ ἐκκλησίᾳ ἱερεῖς, καὶ λειτουργοὶ πλειόνως διηγέρθησαν (1) εἰς φόβον καὶ πόθον Θεοῦ, τοῦ προθυμοτέρως καὶ εὐλαβεστέρως μετὰ χαρᾶς καὶ σπουδῆς ὑπαντᾶν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, ἐν τοῖς ὡρισμένοις καιροῖς τῆς τοῦ Θεοῦ δοξολογίας.

Κεφ. ιϛ΄. Ἄλλως τε (2) πάλιν εἰσελθόντος τοῦ ἁγίου καὶ θαυματουργοῦ πατρὸς ἡμῶν Σπυρίδωνος ἐν τῷ ναῷ τοῦ Θεοῦ, τὴν τῶν λυχνικῶν ἐκτελέσαι (3) ὑμνῳδίαν, ἔλειψεν ἔλαιον τῷ φαίνοντι λύχνῳ ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ. Καὶ μὴ εὑρεθέντος ἐλαίου ἐπὶ τῷ προστεθῆναι τῷ λύχνῳ ὑπὸ τῶν τὴν τοιαύτην διακονίαν ὑπηρετουμένων, (4) ἔγνω ὁ σημειοφόρος πατὴρ ἡμῶν· καὶ ποιήσαντος αὐτοῦ πρὸς τὸν Θεὸν περὶ τούτου εὐχήν, καὶ δεομένου ὅπως μὴ διὰ τὸ σβεσθῆναι τὸν λύχνον (5) ἡμιτελὴς γένηται ἡ τοῦ Θεοῦ λειτουργία, ὁ τῆς δεήσεως τῶν ἁγίων αὐτοῦ ἀκούων καὶ τὸ θέλημα αὐτῶν ποιῶν (6) καὶ δοξάζων τοὺς δοξάζοντας αὐτὸν Θεὸς παραχρῆμα ὑπήκουσε τῆς φωνῆς τοῦ δικαίου· εὐθέως (7) τῇ ἀοράτῳ αὐτοῦ δυνάμει ἐγεμίσθη ὁ λύχνος τοῦ ἐλαίου (8)· οὐ μόνον δὲ ἐγεμίσθη, ἀλλὰ καὶ ἐκ τοῦ πλήθους τῆς τοῦ Θεοῦ εὐλογίας ἀπέσταζε τὸ ἔλαιον κρουνηδὸν ἀπὸ τοῦ λύχνου ἐπὶ τὴν γῆν· ὥστε σκεύη ἀναγκασθῆναι τοὺς ὑποδιακόνους θεῖναι ὑπὸ τὸν λύχνον πρὸς τὸ ὑποδέχεσθαι (9) τὸ κατερχόμενον ἔλαιον, καὶ ἐπὶ πλείστας ἡμέρας ἐπαρκέσαι ἔλαιον, (10) τὴν ἐκ τῆς εὐλογίας περίσσειαν, εἰς τὴν τῆς ἁγίας ἐκκλησίας λυχνοκαΐαν. Ὅπερ παράδοξον θέαμα πάντες οἱ τότε σὺν τῷ δικαίῳ ἐν τῇ ἐκκλησίᾳ (11) ὄντες θεασάμενοι (12) πᾶσι τοῖς κατ' ἐκείνου καιροῦ (13) διηγήσαντο. Μετὰ δὲ τὸ πληρωθῆναι τοὺς ὕμνους τῆς ἑσπερινῆς τοῦ Θεοῦ δοξολογίας, ἀπέλυσε πάν-

(1) πλείω μὲν ἠγέρθησαν (;) (2) *ἄλλοτε* (3) ἐπιτελέσαι (4) ὑπὸ τοῦ... ὑπηρετοῦντος (5) διὰ τῆς σβέσεως τοῦ λύχνου (6) καὶ τὸ θ. αὐτ. ποιῶν, λείπει (7) δικαίου δούλου καὶ εὐθέως (8) ὁ λύχνος αὐτοῦ ἐλαίου τοῦ ναοῦ (;) (9) προσδέχεσθαι (10) ἔλαιον, λείπει (11) *ἐν τῇ ἐκκλησίᾳ*, λείπει (12) θεασάμενος, λείπει (13) κατ' ἐκεῖνο τοῦ καιροῦ.

τας χαίροντας καὶ εὐφραινομένους ἐπὶ τῇ τιοαύτῃ καὶ τοσαύτῃ τοῦ Θεοῦ ἐπισκοπῇ ᾗ ἔδειξεν ἐπὶ τῷ παραδόξῳ καὶ ὑπὲρ λόγον σημείῳ τῷ γενομένῳ ὑπ' αὐτοῦ διὰ τῆς προσευχῆς τοῦ ἁγίου.

Κεφ. ιζ'. Ἔστι πόλις Κηρυνία καλουμένη, ἥτις μία καθέστηκε τῶν ἐν τῇ Κυπρίων νήσῳ (1) πόλεων. Ἐν ταύτῃ βουλομένου τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος χρείας τινὸς ἕνεκα ἀπὸ τῆς ἑαυτοῦ πόλεως Τριμυθοῦντος ἀπιέναι, συνέβη αὐτὸν διὰ Κυθρίας τῆς πόλεως διελθεῖν καὶ διὰ τοῦ ὄρους τοῦ καλουμένου Πενταδακτύλου τὴν ὁδοιπορίαν ποιήσασθαι. Εἶχε δὲ συνοδοιπόρον Τριφύλλιον τὸν ἑαυτοῦ μαθητὴν, ἤδη τῆς τῶν Καλλινικησέων (2) πόλεως ἤτοι *Λευκῶν Θεῶν*, ἐκκλησίας τὴν ἀρχιερωσύνην κληρωσάμενον. Ὁδοιπορούντων οὖν αὐτῶν καὶ ἐλθόντων ἐπὶ τὴν τοποθεσίαν τὴν λεγομένην Παρύμνην, Τριφύλλιος ὁ ἐπίσκοπος, ἀρεσθεὶς τῇ τοποθεσίᾳ καὶ ὅτι τερπνότης ἦν ἐν τῷ τόπῳ, ἐπεθύμησε τὰς κτήσεις τοῦ εἰρημένου τόπου. Καὶ οὕτως τὴν ἐπιθυμίαν ἔχων Τριφύλλιος ὁ ἐπίσκοπος ἐν τῇ καρδίᾳ αὐτοῦ τὴν ὁδὸν ἐπορεύετο, τούτους μὲν τοὺς λογισμοὺς ἐν αὐτῷ κινῶν, οὐ σφόδρα μέν τοι ὑπ' αὐτῶν ἐνοχλούμενος, ἀλλ' ὡς ἂν (3) εἴποι λογιζόμενος αὐτῷ τε συμφέρειν καὶ τῇ αὐτοῦ ἐκκλησίᾳ. Ἔγνω οὖν ὁ ἅγιος ἐκ θείας τινος ἀποκαλύψεως τὰ τῷ ἐπισκόπῳ Τριφυλλίῳ μελετώμενα καὶ φησὶ πρὸς αὐτόν· Τί διαλογίζῃ (4) ἐν τῇ καρδίᾳ σου κτήσασθαι (5) ἀγροὺς καὶ ἀμπελῶνας ἐπιθυμῶν τὰ γήϊνα καὶ χαμαὶ συρόμενα; (6) ἔχομεν κτῆσιν ἐν οὐρανῷ, ἔχομεν οἰκίαν ἀχειροποίητον καὶ μένουσαν εἰς τὸν αἰῶνα (7)· ἔχομεν ἐν οὐρανοῖς πολλὰ ἀγαθὰ, ἃ ὁ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς (8) τοῖς ἀγαπῶσιν αὐτόν. Ταῦτα λογίζου· ταῦτα μελέτα· ταῦτα ἐπιθύμει· ἐν τούτοις ἴσθι, ὅπως

(1) ἐν τῇ Κύπρῳ (2) Καλλινικέων (3) ἄν τις (4) Διαλογίζεσαι (;) (5) ἀποκτῆσαι (6) φθειρόμενα (7) ἔχομεν πόλιν ἐν τοῖς οὐρανοῖς καὶ οἰκίαν ἀχειροποίητον εἰς τοὺς αἰῶνας (8) Κύριος.



ἐν αὐτοῖς προκόπτων ἐν τάχει (1) ἀναδειχθῇς κληρονόμος τῶν αἰωνίων καὶ μηδέπω παρερχομένων. Μὴ τὰ ἐπὶ γῆς ἀλλὰ τὰ ἄνω φρόνει, τὰ ἄνω ζήτει, ὅπου ὁ Χριστὸς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος (2)· Ταῦτα ἀκούσας ὁ ἐπίσκοπος Τριφύλλιος παρὰ τοῦ διδασκάλου ἐθαύμασεν ἐπὶ τῇ δοθείσῃ αὐτῷ (3) χάριτι τῆς προγνώσεως καὶ ὅτι πάντα ἀποκαλύπτει ὁ Θεὸς τῷ ἰδίῳ θεράποντι· διὸ καὶ ὡμολόγησε (4) καὶ εἶπε ταῦτα οὕτως ἔχειν. Παρεκάλεσε δὲ τὸν ἅγιον εὐχὴν ὑπὲρ αὐτοῦ πρὸς τὸν Θεὸν ἐκτενῆ (5) ποιῆσαι ὅπως συγχωρήσῃ αὐτῷ ὁ Κύριος τῶν τοιούτων λογισμῶν τὸ ἁμάρτημα καὶ ὅπως διορθώσηται αὐτὸν ὁ Θεὸς καὶ ἀκατάκριτον αὐτὸν διαφυλάξῃ ἐν τῇ ἐμπιστευθείσῃ αὐτῷ ἐκκλησίᾳ τῆς λογικῆς αὐτοῦ ποίμνης καὶ ἄξιον αὐτὸν ἀνεδείξῃ τοῦ ἁγίου (6) θρόνου τῆς ἁγίας αὐτοῦ ἐκκλησίας. Ταῦτα ἀκούσας παρὰ τοῦ ἐπισκόπου Τριφυλλίου ὁ δίκαιος (7), καὶ προθύμως ἅμα καὶ ἱλαρὸς (8) τὴν προσευχὴν ὑπὲρ αὐτοῦ πρὸς τὸν φιλάνθρωπον Θεὸν (9) προσενέγκας, εἰσηκούσθη παρ' αὐτοῦ, καὶ γέγονεν ἀπὸ τότε Τριφύλλιος σκεῦος ἐκλογῆς τῷ Θεῷ, καὶ ἠξιώθη θείων χαρισμάτων διὰ τῆς εὐχῆς τῆς πρὸς τὸν Θεὸν τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος.

Κεφ. ιη'. Ναύτης (10) ἦν, τῆς πόλεως τοῦ ἁγίου πολίτης, ἀποδημήσας καὶ χρόνον ποιήσας ἐν τῇ ἀποδημίᾳ ὡσεὶ μηνῶν εἴκοσι τεσσάρων· ὕστερον δὲ ἐπανῆλθεν ἐν τῇ αὐτοῦ πόλει Τριμυθούντων. Καὶ ἀπελθὼν εἰς τὸν ἴδιον οἶκον πρὸς τὴν ἑαυτοῦ γυναῖκα, εὗρεν αὐτὴν ἐν γαστρὶ ἔχουσαν, ἐκ παραπτώματος παρὰ νόμῳ (11) καὶ μεμιασμένης κοίτης.

Ἰδὼν δὲ τοῦτο τὸ πονηρὸν πρᾶγμα ὁ ἄνθρωπος ἐν τῷ αὐτοῦ οἴκῳ, δρομαίως ἔρχεται πρὸς τὸν Ἅγιον καὶ λέγει αὐτῷ τὴν

(1) ἐν τέλει (2) καθήμενος, λείπει (3) αὐτῷ παρὰ τοῦ Θεοῦ (4) ὡμολόγησέ τε (5) ἐκτενῆ, λείπει (6) ἁγίου αὐτοῦ (7) ὁ ὅσιος (8) ἱλαρῶς (9) φιλάνθρωπον καὶ μόνον ἀναμάρτητον Θεὸν (10) Ναύτης τις (11) ἔκ τινος γάμου παρανόμου.

γενομένην μοιχείαν εἰς τὴν ἑαυτοῦ (1) γυναῖκα, ἀναθέμενος αὐτῷ τὸ πᾶν τοῦ πράγματος καὶ βουλὴν τοῦ πρακτέου ζητῶν παρὰ τοῦ ἁγίου. Ταῦτα δὲ λέγων πρὸς τὸν ἅγιον δάκρυα πολλὰ ἐξέχεεν ἀπὸ τῆς πολλῆς θλίψεως καὶ ἀθυμίας ὁ ἄνθρωπος. Θεωρῶν δὲ ὁ ἅγιος τὴν τοσαύτην αὐτοῦ θλίψιν καὶ τὰ τοσαῦτα δάκρυα καὶ εὐσπλαγχνισθεὶς ἐπ' αὐτὸν, μεταστειλάμενος τὴν γυναῖκα, εἶπε πρὸς αὐτήν· ἵνα τί οὕτω διεπράξω; Ἡ δὲ ἀναιδῶς ἅμα καὶ τραχέως πρὸς τὸν ἅγιον ἀπεκρίνατο λέγουσα· ψεύδεται οὗτος κατ' ἐμοῦ καὶ λόγους μοι πλέκει, οὐδὲ γὰρ ἔχω πεῖραν ἀνδρὸς ἑτέρου· τοῦτον γὰρ καὶ μόνον οἶδα ἐκ τῆς παρθενίας μου. Ἐρωτῶντος πάλιν τοῦ ἁγίου τὸν ἄνθρωπον, πόσον χρόνον ἔχει ἀπὸ τοῦ οἴκου ἀποδημήσας, ἀπεκρίθη ὁ ναύτης· εἴκοσι τέσσαρες μῆνες εἰσί, πάτερ, ἐξ ὅτου ἐκ τοῦ ἐμοῦ οἴκου ξενιτεύσας ἐξῆλθον. Ἐρωτωμένη δὲ ἡ γυνή, πόσον χρόνον ἔχει ἐν γαστρὶ, ἔλεγε· πόσος μὲν χρόνος ἐστὶν, ἀφ' οὗ ἔλαβον ἀπὸ τοῦτον κατὰ γαστρὸς, οὐκ οἶδα· οἶδα δὲ τοῦτο, ὅτι ἄλλου ἀνδρὸς κοίτην οὐκ ἐπίσταμαι, ἀλλ' οὗτος ἐστὶν ὁ σπείρας ἐν ἐμοὶ τὸ ἐν τῇ ἐμῇ κοιλίᾳ ὑπάρχον ἔμβρυον (2). Ταῦτα δὲ λέγουσα ἀναιδῶς (3) ἐφλυάρει πολλὰ, πάντας τοὺς τῆς πόλεως ταράττουσα (4) καὶ τὸ δοκεῖν πρὸς μάχην διεγεῖραι ἐθέλουσα, ὥστε συσκιάσαι τὸ ἴδιον (5) ἁμάρτημα, ὡς ἐνόμιζεν, ἀναισχύντως βοῶσα καὶ λέγουσα· ἄλλον ἄνδρα οὐκ οἶδα· ἐκ τούτου ἐν γαστρὶ ἔχω. Τοῦ ψόγου διὰ πάντων φερομένου, καὶ τοῦ χρόνου τῆς ἀποδημίας τοῦ ἀνδρὸς γνωσθέντος, καὶ τῶν μηνῶν τῆς κυήσεως πᾶσι τοῦτο καταδηλούντων,—πῶς γὰρ ἐδύνατο βρέφος εἴκοσι τέσσαρας μῆνας ποιῆσαι ἐν μήτρᾳ ;(6)—ὅμως καὶ τούτου πᾶσι (7) καταδήλου ὄντος, τὸ ἄτακτον ἐκεῖνο γύναιον ἐθορύβει πάν-

(1) ἰδίαν αὐτοῦ γυναῖκα (2) ἐν ἐμοὶ τοῦτο τὸ ἐν τῇ κοιλίᾳ μου ὅπερ ἔχω ἔμβρυον (3) Οὕτως οὖν τὸ γύναιον ἀναιδῶς (4) ἐκταράσσουσα (5) τὸ ἑαυτῆς (6) ἐν μήτρᾳ ποιῆσαι· μηδαμοῦ τῆς φύσεως τοῦτο ἐχούσης· ὅμως κ.λ. (7) πᾶσι, λείπει.



τας ἐκ πολλῆς φλυαρίας καὶ ἔκραζε ταράσσουσα τοὺς πολίτας. Ὁ δὲ ταύτης ἀνὴρ πρᾳότητος ὢν καὶ ἡσύχιος, παρεκάλει τὸν ἅγιον, λέγων· δέομαί σου, τίμιε πάτερ· οὐ θέλω ταύτην ἀποθανεῖν διὰ τὸ παράπτωμα αὐτῆς, ἀλλὰ μόνον (1) παρακαλῶ χωρισθῆναι ἀπ' αὐτῆς· ‹ ἐ γὰρ φέρω ἐν τῷ ἐμοῦ οἴκῳ ἰδεῖν τὴν ἐμαυτοῦ γυναῖκα μοι ύσασαν, εἶτα δὲ (2) καὶ ἀπὸ ἄλλου ἀνδρὸς τέκνον ἔχουσαν (3) ἀλλὰ πορευθήτω (4) ὅπου βούλεται ἔχουσα μετὰ τοῦ Θεοῦ. Φησὶ γὰρ ὁ προφήτης· ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος. Ταῦτα ἀκούσας ὁ τῇ θείᾳ δικαιοσύνῃ πεφωτισμένος πατὴρ ἡμῶν, ἐπαινεῖ τὸν ἄνδρα καὶ παρακαλεῖ ἐμμένειν ἐν τῇ προθέσει καὶ τῇ πρᾳότητι καὶ τῇ ὑποσχέσει ταύτῃ, καὶ χωρὶς θανατικῆς ψήφου τὴν ἀπαλλαγὴν τῆς ἀχρείας (5) γυναικὸς ποιήσασθαι. Ἔλεγε δὲ (6) ὁ σημειοφόρος πατὴρ ἡμῶν καὶ τοῦ Θεοῦ ἄνθρωπος Σπυρίδων, νουθετῶν τὸν ἠδικημένον παρὰ τῆς ἑαυτοῦ γυναικὸς ἄνδρα, ὅτι, καλῶς ἐβουλεύσω καὶ ἐλάλησας, τέκνον, μὴν θέλων ταύτην τὴν ἀθλί ψήφῳ θανάτου καταδικάσαι· οὐδὲ (7) γὰρ ὡς ἐκ τούτου ὄφελό τι γένηται. Διὸ νουθετῶν, παρακαλῶ τὴν ἀγαθήν σου πρόθεσιν εἰς ἔργον ἀγαγεῖν, τοῦ μὴν ἐλεῆσαι (8) τὴν ταλαίπωρον ταύτην κακῶς ἀποθανεῖν, εἰ καὶ ὁ νόμος οὕτω κελεύει τὰς τοιαύτας κολάζεσθαι. Σὺ οὖν, τέκνον, καλῶς ἐβουλεύσω ἀναιμωτὶ ἀπαλλαγῆναι ἀπ' αὐτῆς (9). Ἡ δὲ γυνὴ ταῦτα ἀκούσασα παρὰ τοῦ ἁγίου ἀναισχύντως ἐβόα λέγουσα, ψευδομένη· ἐγὼ ἄλλον ἄνδρα οὐκ οἶδα· οὗτος ἐστὶν ὁ πατὴρ τοῦ βρέφους τοῦ ἐν τῇ κοιλίᾳ μου καὶ ἐξ αὐτοῦ ἔχω ἐν γαστρί· ἀλλ' ἐπειδὴ ἐν τῇ ξένῃ ἦν, διὰ τοῦτο ἔμεινε τὸ βρέφος ἐν τῇ γαστρί μου, ἵνα, ὅταν ἔλθῃ ὁ πατὴρ, τότε καὶ αὐτὸ τεχθῇ, ὡς ἐκ τῆς ἐμῆς προέλθῃ κοιλίας. Ὁ δὲ μακρόθυμος καὶ πρᾳότατος πατὴρ

(1) μᾶλλον (2) *εἶτα δέ*, λείπουσι (3) ἀνδρὸς ἐν γαστρὶ ἔχουσαν (4) ἀλλ' ἀπελθέτω (5) τῆς ἀθλίας (6) δὲ καὶ τοῦτο (7) οὐδὲν (8) τοῦτο μὴ θελῆσαι (9) ἐξ αὐτῆς.

ἡμῶν, τοῦ ἀποστολικοῦ χαρίσματος ἀνάπλεως ὤν, ἐμβριμησάμενος τῇ ἀτάκτῳ γυναικί, εἶπεν· ἔδει μὲν πεσοῦσαν εἰς τὸ τῆς μοιχείας βάραθρον διὰ μετανοίας ἐκτενοῦς καὶ πολλῶν δακρύων τὸν φιλάνθρωπον καὶ εὔσπλαγχνον Θεὸν ἐξιλεώσασθαι, ἵνα τύχῃς ἀφέσεως τοῦ τοιούτου βαρυτάτου ἐγχειρήματος· ἐπειδὴ δὲ ἀναισχυντεῖς ψευδομένη καὶ διὰ τῆς παρούσης σοι ἀναιδείας τὴν ἀλήθειαν κρύπτειν δοκεῖς (1), διὰ τοῦτο οὐ μὴ τελεσφορηθῇ ὅπερ κακῶς ἐν γαστρὶ ἔχεις· οὐδὲ μὴ προέλθῃ τοῦτο ἀπὸ τῆς σῆς κοιλίας, ἵνα σιωπήσῃς τῶν ἀτάκτων σου λόγων. Ὁ δὲ λόγος τοῦ δικαίου πατρὸς ἔργον γέγονεν. Ἀποστραφεὶς (;) γὰρ ἀπ' αὐτοῦ, ὠδῖνες πρὸ καιροῦ τοῦ τοκετοῦ τῇ γυναικὶ κατέλαβον (2), τοῦ ἐμβρύου οὐδαμῶς προερχομένου ἐκ τῶν ἐγκάτων αὐτῆς, ἀλλὰ ταῖς ὠδῖσιν ἐναποθνήσκοντος (3), μὴ θελούσης τῆς ἀθλίας τὸ ἴδιον ἁμάρτημα ὁμολογῆσαι καὶ διὰ μετανοίας σωθῆναι (4)· διὸ καὶ ἀπέθανεν ἐν τῇ ἁμαρτίᾳ αὐτῆς. Ἀκούσας δὲ ὁ ἅγιος τὸν οἴκτιστον τῆς ἀθλίας ἐκείνης μοιχαλίδος γυναικὸς (5) διὰ τάχους θάνατον, καὶ ὅτι ὁ λόγος αὐτοῦ ἔργον ἐγένετο, ἐλυπήθη μεγάλως, καὶ λέγει· τοῦ λοιποῦ οὐ δικάσω τινὰ ἀνθρώπων, ἐπειδὴ ὁ λόγος μου μάχαιρα δίστομος ἐγένετο καὶ τὴν γυναῖκα ἐθανάτωσε. Ταύτης δὲ (6) τῆς ψήφου τῆς δικαίας τοῦ ἁγίου εἰς τὰς ἀκοὰς ἐκείνης εἰσελθούσης καὶ ἐνεργησάσης, πάντες οἱ τότε παρόντες καὶ τῆς τοῦ ὁσίου πατρὸς ἡμῶν ἀποφάσεως ἀκούσαντες, φόβῳ μεγάλῳ (7) κατεσχέθησαν, καὶ τοῦ λοιποῦ οὐδεὶς ἐτόλμα ὡς ἔτυχε τῷ ἁγίῳ προσεγγίσαι, ἀλλὰ πάντες αἰδοῖ αὐτῷ καὶ φόβῳ προσβλέποντες καὶ μετὰ τρόμου προσερχόμενοι καὶ προσκυνοῦντες ἐδόξαζον τῷ Θεῷ, τῷ τοιαύτην ἐξουσίαν δόντι τῷ ἁγίῳ αὐτοῦ θεράποντι, κατὰ τὸ γεγραμ-

(1) κρύπτουσα, ὡς δοκεῖς.

(2) Προφανὴς ἡ ἀνωμαλία τῆς συντάξεως ἐνταῦθα.—Σ. Π.

(3) ἐναπέθνησκε (4) ἁμάρτημα εἰπεῖν καὶ ὁμολογήσασα καὶ μετανοήσασα σωθῆναι (5) *γυναικός*, λείπει (6) Ταύτης οὖν (7) τοῦ ἁγίου Πατρὸς ἡμῶν ἀκούσαντες φόβῳ μεγάλῳ κ.λ.



μένον ἐν ταῖς τῶν ἁγίων Ἀποστόλων Πράξεσι, περὶ τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας· «Ἐγένετο γάρ, φησὶν ὁ θεῖος Λουκᾶς, φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα· τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι τοῖς ἁγίοις ἀποστόλοις διὰ τήν, ὡς εἴρηται, γενομένην παρ' αὐτῶν εἴς τε τὸν (1) ἄνδρα καὶ τὴν τούτου γυναῖκα παράδοξον θαυματουργίαν, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός». Οὕτως εἴρηται καὶ ἐπὶ (2) τούτου τοῦ ἁγίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σπυρίδωνος· φόβῳ γὰρ (3) κατεσχέθησαν οἱ πάντες.

Κεφ. ιθ'. Γυνή τις φιλόχριστος, ὀνόματι Σωφρονία, κατέμενεν ἐν Κωνσταντίᾳ τῇ μητροπόλει, ἔχουσα ἄνδρα εἰδωλολάτρην καὶ κακοπραγῆ, ὀνόματι Ὄλυμπον, πολυθεΐαν δοξάζοντα· οὐ γὰρ ἕνα (4) μόνον, ἀλλὰ πλείστοις ὡμολόγει θεοῖς (5). Αὕτη οὖν ἡ γυνὴ γνωστὴ ἦν τῷ ἁγίῳ πατρὶ ἡμῶν Σπυρίδωνι· ἥν τινα καὶ ἀγαπῶν ὁ πεφωτισμένος οὗτος πατὴρ παρέβαλλε τῷ ταύτης οἴκῳ. Ὁ δὲ ταύτης ἀνήρ, εἰ καὶ τοιοῦτος ἦν, οὐδέποτε ἐκώλυσε τὴν ἰδίαν γυναῖκα τῆς πρὸς τὸν ἅγιον τοῦτον τριβῆς (6) καὶ ὑποδοχῆς, ἀλλὰ μᾶλλον ἔχαιρεν εἰς τὴν τοῦ ἁγίου παρουσίαν. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν παρέβαλεν ὁ δίκαιος τῷ ταύτης οἴκῳ. Ἐποίησεν οὖν αὐτῷ δεῖπνον ἐκεῖ ἡ φιλόχριστος αὕτη, παρῆν δὲ καὶ συνεδείπνει τῷ ἁγίῳ ἐκεῖνος ὁ εἰδωλολάτρης. Δειπνούντων δὲ αὐτῶν, ὁ ἅγιος στραφεὶς εἰς τὰ ὀπίσω, εἶπέ τινι τῶν ἰδίων αὐτοῦ εἰς ἐπήκοον πάντων· ὁ παῖς ἐκεῖνος, ὁ βόσκων τὰ θρέμματα ἐν Τριμυθοῦντι τῇ πόλει, ἀπώλεσε πάντα ἐν τῷ ἀγρῷ, κατασχεθεὶς ὕπνῳ βαρυτάτῳ· ἐξυπνισθεὶς δὲ καὶ ἀναστὰς καὶ ζητήσας εὗρεν αὐτὰ ἐν σπηλαίῳ πάντα πλήρη, μὴ λείποντος μηδ' ἑνός· πρὸ δὲ τοῦ ταῦτα αὐτὸν εὑρεῖν, ἔπεμψε νεώτερόν τινα ἀγγεῖλαί μοι περὶ τούτου· μετὰ δὲ τὸ πέμψαι αὐτὸν τὸν νεώτερον, εὗρεν αὐτά, εἶπον, ἐν

(1) εἰς τὸν (2) περὶ (3) γὰρ λείπει.

(4) Οὐχ' ἕνα (5) πλείους ὡμολόγει θεούς. (6) τιμῆς τε.

ἐνὶ σπηλαίῳ. Καὶ στραφεὶς εἶπε πρὸς τὴν φιλόχριστον ἐκείνην γυναῖκα καὶ τὸν ταύτης εἰδωλολάτρην ἄνδρα· ἰδού, ὁ παῖς ὁ πεμφθεὶς ἀναγγεῖλαί μοι ἵσταται ἔξω τῶν θυρῶν τοῦ ὑμετέρου οἴκου. Καὶ πάλιν εἶπε τῷ οἰκείῳ αὐτοῦ· κάτελθε ταχέως καὶ εἰπὲ τῷ πεμφθέντι παρὰ τοῦ ἀπολέσαντος τὰ πρόβατα, ὅτι εὕρηνται πάντα τὰ πρόβατα τὰ ἀπολεσθέντα. Ἀλλὰ δότε τοῖς ἀδελφοῖς, τῷ τε πεμφθέντι ἀπαγγεῖλαί μοι καὶ τῷ σὺν αὐτῷ, μισθὸν τοῦ καμάτου αὐτῶν, ὡς ἔθος μοι ἔστι διδόναι, ἡνίκα χρεία γένηται πέμψαι που εἰς διακονίαν (1). Ἀκούσας δὲ τῶν λόγων τοῦ ἁγίου εἷς ἐκ τῶν παρισταμένων καὶ ὑπηρετούντων, ἐκπλαγεὶς ἐπὶ τοῖς λόγοις τοῦ ἁγίου—ἦν γὰρ χριστιανὸς—κατελθὼν μετὰ σπουδῆς εὗρεν εἰς τὸν πυλῶνα τοῦ οἴκου γεωργοὺς ἑστῶτας· καὶ ἐρωτήσας αὐτούς, τί θέλουσιν, ἔμαθε (2) παρ' αὐτῶν ἅπερ εἶπεν ὁ ἅγιος πρὸ τοῦ αὐτοὺς παραγενέσθαι καὶ κροῦσαι ἐν τῷ οἴκῳ. Ἀνελθὼν δὲ ἀνήγγειλεν ἅπαντα τῇ φιλοχρίστῳ γυναικὶ καὶ τῷ ἀνδρὶ αὐτῆς. Ταῦτα ἀκούσας ἐκεῖνος ὁ εἰδωλολάτρης, ὁ τῆς φιλοχρίστου (3) γυναικὸς ἀνήρ, γέγονεν ἄφωνος, ἐξιστάμενος καὶ ὡς θεῷ προσέχων τῷ δικαίῳ, κατὰ τὸ γεγραμμένον ἐν ταῖς τῶν ἁγίων ἀποστόλων Πράξεσιν, ὅτι Παύλου καὶ Βαρνάβα ἐλθόντων ἐν Μακεδονίᾳ (4) καὶ ποιησάντων τὸ σημεῖον τῆς ἰάσεως, ὁ ἱερεὺς τοῦ Διὸς ταύρους καὶ στέμματα ἐνέγκας ἐπὶ τὸν πυλῶνα τοῖς ἀποστόλοις σὺν τοῖς ὄχλοις ἤθελε θύειν. Οὕτω καὶ οὗτος τὸ παράδοξον θεασάμενος, καὶ νομίσας εἶναι αὐτὸν Θεόν, ἤθελε θύειν. Ἡ δὲ φιλόχριστος ἐκείνη γυνὴ καὶ φιλόξενος, καιροῦ λαβομένη, ἐδίδασκε τὸν ἴδιον ἄνδρα λέγουσα· οὐχ οὗτος ἐστὶ Θεός, ἀλλὰ δοῦλος τοῦ Θεοῦ τοῦ ὑψίστου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν, ὃς καὶ ἐνοικῶν ἐν αὐτῷ, πάντα αὐτῷ ἀποκαλύπτει.

(1) ἀπὸ τοῦ «πρὸ δὲ τοῦ ταῦτα» μέχρι «διακονίαν» τὸ χειρόγραφον τῆς Ἐνετίας εἶναι λίαν ἐφθαρμένον. (2) καὶ ἐπηρώτησεν αὐτοὺς ταῦτα, καὶ μαθὼν τί θέλουσιν, ἔμαθε (3) φιλοχρίστου ἐκείνης (4) ἐλθόντων εἰς τὰ μέρη Λυκαονίας.



Ταῦτα δὲ λέγουσα ἡ φιλόχριστος γυνὴ μετὰ δὲ καὶ ἑτέρων τινῶν, λοιπὸν (1) δὲ καὶ τοῦ ἁγίου πατρὸς ἡμῶν πολλὰ κατηχήσαντος τὸν ἄνδρα, ἐπείσθη δέξασθαι τὴν ἐν Χριστῷ σφραγῖδα, ὥστε γενέσθαι χαρὰν μεγάλην ἐν τῷ τόπῳ ἐκείνῳ (2).

Κεφ. κ'. Οὕτως (3) ὁ μέγας τοῦ Θεοῦ ἄνθρωπος τοῖς ἀποστολικοῖς ἑαυτὸν κατακοσμήσας χαρίσμασι, καὶ διὰ τούτων παρὰ τῷ Θεῷ τίμιος ἀναδειχθείς, τὰς τῆς φωτοφόρου αὐτοῦ καρδίας μαρμαρυγὰς (4) πᾶσιν ἀπήστραψε. Διὸ καὶ τῷ φωτὶ τῶν ἀρετῶν καταγλαϊζόμενος, καὶ ὅλως πνευματικὸς γεγονώς, καὶ τὰ ἀπὸ μακρὰν ὡς ἐγγὺς αὐτοῦ ὄντα θεωρεῖν κατηξιωμένος, ἔγνω διὰ τῆς πολλῆς τοῦ ἁγίου πνεύματος ἐν τῇ καρδίᾳ αὐτοῦ φωτοχυσίας τὸν τῆς ἑαυτοῦ τελευτῆς καιρόν. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ γὰρ καὶ τὰ μετὰ ταῦτα συμβησόμενα (5) διὰ τῆς καθαρᾶς αὐτοῦ καρδίας ἐθεάσατο, (6) καὶ ταῦτα τοῖς προσεγγίζουσιν αὐτῷ φίλοις καὶ πιστοῖς οὖσι μετὰ χαρᾶς προσηγόρευσε. (7) Πρὸ γὰρ ὀλίγου τινὸς (8) τῆς ἑαυτοῦ τελετῆς, θέρους ὄντος, ἐξελθὼν ἐν τῷ ἀγρῷ, τὴν ἰδίαν αὐτοῦ γεωργίαν θερίσαι (9) θέλων, συνόντων αὐτῷ καὶ ἑτέρων τινῶν (10) γνωρίμων καὶ πιστῶν ἀνδρῶν, ἐν τῷ τὸν δίκαιον ἰδίαις χερσὶν σὺν αὐτοῖς θερίζειν, ἄφνω ἐκ τοῦ οὐρανοῦ ψεκάδες ὑετοῦ, λεπταὶ λίαν καὶ δροσώδεις, ἐπὶ τὴν ἑαυτοῦ καὶ μόνην κατήρχοντο (11) κεφαλήν· κατασχὼν δὲ τῇ ἰδίᾳ δεξιᾷ τὴν ἑαυτοῦ κεφαλήν, ἐδείκνυε ταύτην τοῖς παροῦσιν αὐτῷ φίλοις, καὶ δεικνύων ἐπυνθάνετο παρ' αὐτῶν εἰπεῖν, τί θεωροῦσιν ἐν τῷ κρανίῳ αὐτοῦ. Οἱ δέ, ὥσπερ ἐν θαύματι καὶ ἐν ἐκστάσει γενόμενοι, ἔλεγον τρίχας βλέπειν λεπτὰς καὶ πυρρὰς καὶ μέλαινας (12). Ὁ δὲ ἅγιος, πνευματικῶς ἀνάπλεως χαρᾶς γεγονὼς καὶ εὐφροσύνης θείας καὶ ἀρρήτου πλη-

(1) λυπῶν (sic;) (2) ἐν τῷ τόπῳ διὰ τῆς παρουσίας τοῦ ἁγίου.
(3) Οὗτος (4) αὐγὰς (5) ἀλλὰ γὰρ καὶ τὰ ταύτης σημαινόμενα (;) (6) θεασάμενος (7) προηγόρευσε (8) ὀλίγου χρόνου (9) θεωρῆσαι (10) ἑτέρων (11) κατέπιπτον (12) μελανάς.

ρωθεὶς (1) τὴν καρδίαν, ἔλεγε· γνωστὸν ἔστω ὑμῖν, φίλοι μου γνήσιοι καὶ πνευματικοὶ ἀδελφοί, (2) ὅτι μετὰ τὴν ἐμὴν ἀπὸ τοῦ σώματος ἐκδημίαν καὶ ἀποβίωσιν, πολλῇ δόξῃ (3) ὁ Κύριος στεφανώσει τὴν ἐμὴν μνήμην· καὶ τῷ αὐτοῦ νεύματι (4) κινουμένη πᾶσα ἡλικία ἀνθρώπων, παλαιῶν τε καὶ μέσων καὶ νέων, τὴν τῆς ἐμῆς τελευτῆς ἡμέραν αἰσίως ἐπιτελέσει ἐν τῷ τάφῳ, ἔνθα τὸ ἐμὸν μέλλει κατατίθεσθαι σῶμα· κἀγὼ δὲ λαμβάνων παρρησίαν παρὰ τοῦ φιλανθρώπου (5) καὶ δεσπότου, μεταδώσω τούτοις ὧν ἔλαβον χαρισμάτων. Καὶ τοῦτο δὲ τοῖς ἰδίοις προσετίθει λόγοις ὁ ἀληθινῶς ταπεινόφρων, λέγων· Ἀδελφοί, ἐγὼ πένης εἰμί, ὡς ὁρᾶτε καὶ οἴδατε· ἀλλὰ παρὰ τοῦ πλουσιοδώρου (6) λαμβάνων παρρησίαν, αἰτήσομαι πᾶσι τὸ μέγα ἔλεος δωρηθῆναι (7), ἵνα γινώσκωσιν αὐτὸν τὸν μόνον ἀληθινὸν Θεὸν καὶ Πατέρα, καὶ τὸν μονογενῆ Υἱὸν αὐτοῦ καὶ τὸ ἅγιον καὶ ζωοποιὸν αὐτοῦ Πνεῦμα, Τριάδα ἄκτιστον, ὁμοούσιον, ἀσύγχυτον, ἀμέριστον. Ταῦτα ὁ ἅγιος πρὸς τοὺς τότε συμπαρόντας αὐτῷ φίλους ἀνυποστόλως μετὰ παρρησίας καὶ χαρᾶς ἁγίου πνεύματος εἶπε· πάντας δὲ ἐξέστησεν, ὡς τὰ μέλλοντα προειπὼν (8)· οἵτινες τὰ παρ' αὐτοῦ ῥηθέντα ἀκούσαντές τε καὶ πιστεύσαντες ἐδόξασαν τὸν Θεόν, τὸν δοξάζοντα τοὺς δοξάζοντας αὐτόν, θαυμάζοντες καὶ ἐκπληττόμενοι ἐπὶ τῇ τοσαύτῃ διὰ τῆς καθαρότητος τῇ πρὸς τὸν Θεὸν παρρησίᾳ (9) τοῦ δικαίου. Παρεκάλει δὲ πάντα τὸν λαὸν ὁ τοῦ Θεοῦ θεράπων τὴν κεφαλαιωδεστέραν ἀρετήν, τὴν πάσας τὰς ἀρετὰς (10) περιέχουσαν, ἐν ἑαυτοῖς κατεργάζεσθαι, τὴν εἰς τὸν Θεὸν καὶ τὸν πλησίον εἰλικρινῆ ἀγάπην, μνημονεύων καὶ παρατιθέμενος αὐτοῖς τὸν λόγον τοῦ Κυρίου, τὸν λέγοντα· Ἐν ταῖς δυσὶ ταύταις ἐν-

(1) πλησθεὶς (2) ἀδελφοί μου (3) διὰ πολλῆς δόξας (4) πνεύματι (5) φιλανθρώπου Θεοῦ (6) πλουσίου καὶ πλουσιοδώρου (7) παρ' αὐτοῦ δωρηθῆναι (8) *πάντας μέχρι προειπών*, λείπουσι (9) ἐν τῇ τοιαύτῃ καὶ τοσαύτῃ καθαρότητι τῆς πρὸς τὸν Θεὸν παρρησίας (10) πᾶσαν ἀρετὴν περιέχουσαν.



τολαῖς κρέμανται οἱ νόμοι καὶ οἱ προφῆται (1). Ταῦτα ποιῶν (2) ὁ ἅγιος ἐδίδασκε, καὶ τῷ ἑαυτοῦ ὑποδείγματι πάντας εἰς τὸ (3) κατεργάζεσθαι τὰς τοῦ Θεοῦ ἐντολὰς προθυμοποιῶν προετρέπετο (4). Οἱ δὲ λαοὶ καὶ μαθηταὶ αὐτοῦ ταῦτα ἀκούσαντες ἔσπευδον ἕκαστος κατὰ δύναμιν ἄξιος τῆς τοιαύτης νουθεσίας ἀναδειχθῆναι. Ἐν τούτοις οὖν διημερεύων διὰ παντὸς καὶ διανυκτερεύων ὁ τοῦ Θεοῦ θεράπων Σπυρίδων, γέγονεν, ὡς κατ' ἀρχὰς τοῦ λόγου εἴρηται, ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, καὶ τὸν μὲν καρπὸν (5) αὐτοῦ ἔδωκεν ἐν καιρῷ αὐτοῦ, τουτέστι δι' ὅλου τοῦ χρόνου τῆς ἑαυτοῦ ζωῆς· διὸ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπερρύη, ἀλλὰ καὶ πάντα ὅσα ἂν ἐποίει κατευοδώθη (6). Ὅθεν καὶ τὸν ἀνθρώπινον βίον καταλιπὼν καὶ πρὸς τὸν Θεὸν ἀναλύσας καὶ ταῖς ἀγγελικαῖς χοροστασίαις καταυλιζόμενος, καὶ ἐπὶ τῇ θείᾳ γνώσει εὐφραινόμενος, καὶ παρρησίας ἠξιωμένος, μειζόνως πρεσβεύει ὑπὲρ ἡμῶν, πᾶσι τοῖς πιστῶς προσερχομένοις αὐτῷ τὰ εἰς ἀγαθὸν αἰτήματα διὰ τοῦ Θεοῦ παρέχων, καὶ πᾶσι τοῖς πρὸς αὐτὸν καταφεύγουσι τὰ σωτηριώδη χαρίσματα αὐτοῖς δωρηθῆναι.

Κεφ. κα'. Ταῦτα μὲν ἐν τῇ βίβλῳ τῇ διὰ ἰάμβων ἐκτεθείσῃ εὗρον. Ἦν τινα βίβλον λέγουσιν ὑπὸ τοῦ ἁγίου πατρὸς ἡμῶν Τριφυλλίου τοῦ μαθητοῦ, τοῦ γενομένου ἐπισκόπου τῆς Καλλινικησσέων πόλεως, ἤτοι τῶν ***λευκῶν θεῶν*** (7) ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας ἀναγεγράφθαι. Ἐγὼ δὲ οὐκ οἶμαι τοῦ προρρηθέντος ἁγίου πατρὸς Τριφυλλίου (8) εἶναι τὸ τοιοῦτον σύγγραμμα, ἀλλά τινος μετασχόντος ὀλίγης (9) προπαιδείας ποίημα ὑπολαμβάνω εἶναι (10)· ὅπερ εἴτε ἐπὶ ζωῆς, εἴτε μετὰ θάνατον,

(1) ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται (2) πολλοῖς (3) ἐν τῷ (4) προέτρεπε (5) τὸν καρπὸν (6) ὑπὸ τοῦ Θεοῦ καὶ Πατρὸς κατευοδώθη.

(7) ἤτοι Λευκοθέων (8) Τριφυλλίου τοῦ μαθητοῦ αὐτοῦ (9) ὀλίγης τινὸς (10) *εἶναι*, λείπει.

ἐκ πολλῆς πρὸς τὸν ἅγιον Τριφύλλιον τὸν ἐπίσκοπον ἄγαν ἀγάπης, ὁ ποιήσας τότε τὸ σύγγραμμα ὡς ἐξ αὐτοῦ γενόμενον αὐτὸ ἐπέγραψε. Ταῦτα δὲ εὑρήσει τις εἰς τὸν βίον τοῦ ἀοιδίμου πατρὸς Σπυρίδωνος συγγεγραμμένα διὰ ἰάμβων, νοχελῶς ἀναγινώσκων τὰ τούτου τοῦ βιβλίου κεφάλαια, ἅτινα ἐγὼ ἐξ ὀλίγου πλατύνας, ἀνεγραψάμην ἐν τούτῳ τῷ παρ' ἐμοῦ μεταβληθέντι λόγῳ. Ἴσως δὲ καὶ Τριφύλλιος ἐκέκλητο ὁ ταῦτα συγγραψάμενος.

Κεφ. κβ'. Καὶ ταῦτα μὲν εἰρήσθω περὶ τοῦ βιβλίου διὰ ἰάμβων ἐν ὀνόματι τοῦ ἁγίου Τριφυλλίου ἐπιγεγραμμένου. Ἅπερ δὲ ἐγὼ παρά τινων διηγησαμένων μοι μεμαθηκὼς προσέθηκα ταύτῃ μου τῇ διηγήσει (1), μετὰ τὴν Σωκράτους τοῦ Σχολαστικοῦ συγγραφὴν (2), ἱστορήσω πρὸς ὀφέλειαν τῶν ἐντυγχανόντων. Σωκράτης γὰρ ὁ Σχολαστικὸς, τὴν ἐκκλησιαστικὴν συγγραφὴν ἱστορήσας (3), ἐμνημόνευε τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος λέγων οὕτω : «Περὶ δὲ Σπυρίδωνος τί χρὴ καὶ λέγειν ; τοσαύτη γὰρ τῷ ποιμένι τούτῳ ὑπῆρχεν ὁσιότης ὡς καὶ ἀξιωθῆναι αὐτὸν καὶ ἀνθρώπων ποιμένα γενέσθαι. Ὃς τις καὶ μιᾶς τῶν ἐν Κύπρῳ πόλεων Τριμυθοῦντος τὴν ἐπισκοπὴν ἐκληρώσατο, διὰ δὲ ἀτυφίαν καὶ εὐφυΐαν πολλὴν, εἴχετο τῆς ἐπισκοπῆς καὶ ἐποίμαινε τὰ πρόβατα. Πολλὰ μὲν οὖν τὰ περὶ αὐτοῦ λεγόμενα, ἑνὸς δὲ ἢ δύο ἐπιμνησθήσομαι.

»Μέσης ποτὲ τῆς νυκτὸς, κλέπται ποτὲ τῆς ἐπαύλεως τῶν προβάτων ἐπελθόντες λαθραίως, ἀφελέσθαι τινὰ τῶν προβάτων ἐσπούδαζον. Ὁ Θεὸς δὲ, ὁ τὸν ποιμένα σώζων, ἔσωζε καὶ τὰ πρόβατα. Οἱ γὰρ κλέπται ἀοράτῳ δυνάμει παρὰ ταῖς ἐπαύλεσιν ἐδέδεντο· ὄρθρος τε ἦν, καὶ ὀπίσω τὰς χεῖρας ἔχοντας εὑρὼν(4), ἔγνω τὸ γεγονὸς, καὶ εὐξάμενος λύει τοὺς κλέπτας, πολλά τε

(1) συγγραφῇ (2) διήγησιν (3) τὴν ἐκκλησιαστικὴν συγγράφων Ἱστορίαν (4) ὄρθρος τε ἦν καὶ ἦκε παρὰ τὰ ποίμνια· ὡς δὲ εὗρεν αὐτοὺς ὀπίσω τὰς χεῖρας ἔχοντας.



νουθετήσας καὶ παραινέσας, ἐκ δικαίων πόνων (1) σπουδάζειν κτᾶσθαι, καὶ μηδὲν (2) ἐξ ἀδικίας λαμβάνειν, κριόν τε αὐτοῖς χαρισάμενος, ἀπέλυσε χαριέντως ἐπιφθεγξάμενος, ἵνα μὴ, φησὶ, μάτην ἠγρυπνηκότες φανῆτε. Ἓν μὲν οὖν τοῦτο τῶν τοῦ ὁσίου θαυμάτων. Ἕτερον δὲ τούτου οὐκ ἔλαττον διηγήσομαι.

»Ἦν αὐτῷ θυγάτηρ, τῆς τοῦ πατρὸς εὐλαβείας μετέχουσα, παρθένος, ὀνόματι (3) Εἰρήνη. Ταύτῃ γνώριμός τις πολύτιμον παρέθετο (4) κόσμον· ἡ δὲ, ἀσφαλέστερον ποιοῦσα, γῇ τὴν παρακτοθήκην ἔκρυψε (5)· μετ' οὐ πολὺ δὲ τὸν βίον ἀπέλιπεν. Ἧκει δὲ μετὰ χρόνον ὁ παραθέμενος· μὴ εὑρὼν δὲ τὴν παρθένον, περιέπλεκε τῷ πατρὶ, νῦν μὲν ἕλκων, ἔστι δ' ὅτε καὶ παρακαλῶν. Ἐπεὶ δὲ συμφορὰν ἰδίαν ἐποιεῖτο τὴν τοῦ παραθεμένου ζημίαν ὁ γέρων, ἐλθὼν ἐπὶ τὸ μνῆμα τῆς θυγατρὸς, ἐπεκαλεῖτο τὸν Θεὸν, δεῖξαι αὐτῷ πρὸ καιροῦ τὴν ἐπηγγελμένην ἀνάστασιν· καὶ τῆς ἐλπίδος οὐχ ἥμαρτε. Ζῶσα γὰρ ἡ παρθένος αὐτῇ(6) φαίνεται τῷ πατρὶ, καὶ τὸν τόπον σημήνασα(7), ἔνθα τὸ κόσμιον ἐκρύπτετο, αὖθις (8) πάλιν ἀνεπαύθη. Τοιοῦτοι ἄνδρες ἐν τοῖς χρόνοις τοῦ βασιλέως Κωνσταντίνου κατὰ τὰς Ἐκκλησίας ἐξέλαμπον. Ἐγὼ οὖν ταῦτα (9) ἀκοῇ παρὰ πολλῶν Κυπρίων παρέλαβον, καὶ συντάγμασί τινος Ρουφίνου πρεσβυτέρου ἐνέτυχον, ρωμαϊκῇ λέξει συγγεγραμμένοις, ἀφ' ὧν ταῦτα συνήγαγον».

Καὶ ταῦτα μὲν ὁ Σωκράτης. Ἅπερ δὲ κἀγὼ, ὡς ἀνωτέρω εἴρηται, παρά τινων παλαιοτέρων ἀληθινῶν ἀνδρῶν μεμάθηκα διηγησαμένων μοι, προσέθηκα τῷδε μου τῷ συγγράμματι, πρὸς τὴν τῶν ἐντυγχανόντων ὠφέλειαν, ὡς ὑποτέτακται.

Κεφ. κγ'. Μοναχός τις τῆς εὐαγοῦς μονῆς τοῦ Συμβόλου, τῆς διακειμένης ὡς ἀπὸ εἴκοσι ὀκτὼ σταδίων τῆς Κουρέων φιλοχρίστου πόλεως, ὀνόματι Ἰωάννης, ἀδελφιδοῦς γενόμενος Ἰωάννου τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ γενομένου Ἐπισκόπου Θεοδο-

(1) ἐκ δικαίου τινὸς (2) καὶ μὴ (3) τοὔνομα (4) παρέθηκε (5) κατέκρυψε (6) αὖθις (7) σημάνασα (8) αὕτη (9) ταῦτα, λείπει.

σιάδος, ήτοι νέας (1) πόλεως τῆς Κυπρίων ἐπαρχίας, ὅν τινα ἐγώ, πρεσβύτερον ὄντα, ἀποταξάμενον τῷ βίῳ ἀπέθριξα ἐν τῇ προλεχθείσῃ εὐαγεῖ μονῇ τοῦ Συμβόλου, ἐν ᾗ κἀγὼ αὐτὸς ἀπεταξάμην, διηγήσατό μοι λέγων, ὅτι, πρὸ τοῦ ἀποτάξασθαί με, εὐχῆς ἕνεκα τῆς πρὸς τοὺς (2) ἁγίους μάρτυρας Κῦρον καὶ Ἰωάννην, παρεγενόμην ἐν Ἀλεξανδρείᾳ κατὰ τὸν καιρὸν, ἐν ᾧ εἰσῆλθον οἱ Πέρσαι ἐν Αἰγύπτῳ. Ἔτι ὄντων αὐτῶν ἐπὶ τὰ μέρη τῆς Νικίου καὶ Βαβυλῶνος τῆς κατ' Αἴγυπτον, καὶ πληρώσαντος μου τὴν εὐχὴν, καὶ ἑτοιμαζομένου ἐπὶ τὸ ἐξελθεῖν τῆς πόλεως Ἀλεξανδρείας, μάλιστα διὰ τὴν ταραχὴν καὶ τὸν θόρυβον τῆς περσικῆς ἐπιδρομῆς ἀπερχομένου μου διὰ τῆς ἀναβάθρας (3) τοῦ δρόμου ἐπὶ τὴν νέαν πόλιν, παράγων δι' ἑνὸς καταλλακτηρίου, εὗρον αὐτόθι καθεζόμενον ἄνδρα τινὰ Κύπριον Ἀκρωτηριαστὴν, Στέφανον μὲν καλούμενον, διάκονον δὲ ὄντα τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, τῆς διακειμένης ἐν τῷ αὐτῷ Ἀκρωτηρίῳ τῆς παροικίας τοῦ πολεμίου· ὅς τις (4), χρόνους ὕστερον, καὶ πρεσβυτέρου χειροτονίας ἠξιώθη ὑπὸ τοῦ ἰδίου ἐπισκόπου, τοῦ ἐν μακαρίᾳ τῇ μνήμῃ (5) Διονυσίου, τοῦ Προέδρου γενομένου, τῆς Κουρέων φιλοχρίστου πόλεως ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας. Ὅς τις Στέφανος τότε, ὡς εἴρηται, ἔτι ὢν διάκονος, φίλος μου πάνυ γνήσιος ὑπῆρχεν. Ὅν τινα καὶ ἀσπασάμενος, καί τινας συντυχίας πρὸς αὐτὸν πεποιηκώς, (6) εἶπον πρὸς αὐτόν· ὄντως, κύριε Στέφανε, ὀφείλομεν φροντίσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν (7)· καὶ ὡς ἔτι καιρὸν ἔχομεν, ἐξέλθωμεν ἐκ τῆς πόλεως ταύτης, μήποτε, συγχύσεως γενομένης, κρατηθῶμεν ὧδε(8). Ἐκάθητο δὲ ἐν τῷ καταλλακτηρίῳ, ἤγουν *τραπεζιτείῳ* (9), μετὰ καὶ ἄλλων τινῶν. Εἶχε μετὰ χεῖρας βιβλία τινὰ, ἐν οἷς καὶ τὸ βιβλίον Ναοὺμ τοῦ προφήτου καὶ

(1) ἤτοι μιᾶς (2) τῆς εἰς (3) βάθρας (4) ὃς (5) τῇ μνήμῃ γενομένου (6) πεποιηκότως μου (7) τὰς ψυχὰς (8) ὧδε, λείπει (9) καταλλακτήριον= ἀργυραμοιβεῖον.—Σ. Π.



ἐζήτει σὺν τοῖς σὺν αὐτῷ οὖσι καὶ τῷ τραπεζίτῃ μαθεῖν ἐκ τοῦ προειρημένου προφητικοῦ βιβλίου, εἰ ἄρα εἰσέρχονται ἐν Ἀλεξανδρείᾳ οἱ Πέρσαι (1). Ἦν δὲ ἐν τοῖς βιβλίοις ἐκείνοις ἓν αὐτῶν, ἔχον περὶ τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος. Ἐγὼ δὲ ἤγειρα (2) αὐτὸν ἐκ τοῦ Τραπεζητείου, λέγων· ἀνάστα, κύριε Στέφανε, καὶ ἄγωμεν, φροντίσωμεν τῶν ψυχῶν ἡμῶν. Ἀναστάντος οὖν αὐτοῦ, καὶ πορευομένων ἡμῶν καὶ ἀπερχομένων διὰ τῶν λεγομένων ***Ναυπηγείων*** (3) καὶ τοῦ λεγομένου ***Ἀμπελίου*** εἰς τὸν ***Φάρον***, ἐπὶ τὸ πλοῖον τὸ ἴδιον αὐτοῦ τοῦ Στεφάνου τοῦ διακόνου, εἶπον πρὸς αὐτόν· πόθεν ὁ ἅγιος Σπυρίδων, Κύπριος ὤν, ὧδε (4) εἰς τὴν πόλιν ταύτην; περὶ αὐτοῦ ταῦτα λέγεται; (5) Ὁ δὲ ἀποκριθεὶς εἶπέ μοι:

Κεφ. κδ'. Εὗρον ἐν τῷ βιβλίῳ ἐκείνῳ γεγραμμένον, ὅτι ἐν τοῖς χρόνοις τῆς ἐπισκοπῆς αὐτοῦ ὁ πατριάρχης τῆς πόλεως ταύτης μετεστείλατο πᾶσαν τὴν ὑπ' αὐτὸν τῶν ἁγίων ἐπισκόπων σύνοδον, πρὸς τὸ κοιναῖς εὐχαῖς τὸν Θεὸν παρακαλέσαι, ὥστε τὰ ἐν τοῖς τεμένεσι καὶ (6) εἰδώλοις διὰ μαγικῆς (7) κακοτεχνίας ξόανα (8) καταστρέψαι. Ἦν γὰρ μέχρι τῶν καιρῶν ἐκείνων κατείδωλος ἡ πόλις (9) Ἀλεξάνδρεια. Συναχθέντες οὖν πάντες οἱ ἅγιοι ἐπίσκοποι περιήρχοντο τὰ ἱερὰ τῶν Ἑλλήνων σὺν τῷ μακαριωτάτῳ Πάππᾳ (10), ἕκαστος εὐχὴν ποιῶν πρὸς τὸν Θεὸν ἐπὶ τῇ τῶν εἰδώλων καθαιρέσει. Εὐχομένου οὖν ἑκάστου αὐτῶν ἐπὶ τῇ καταλύσει τῶν ξοάνων, ὁ φιλάνθρωπος Κύριος ἐπήκουσε τοῦ εὐχομένου ἐπισκόπου, καὶ τῷ πνεύματι αὐτοῦ κατέπιπτον τὰ εἴδωλα. Εἶτα πολλῶν εἰδώλων καταπεσόντων, ἐλθόντες ἐπὶ ξόανον ἕν, καὶ προτρεψαμένου τοῦ Πάππα

(1) Ὑπαινίσσεται ἴσως ἐνταῦθα τὴν ἐν κεφ. Γ'. στ. 10 κέ. τοῦ Ναοὺμ προφητείαν περὶ Αἰγύπτου.—Σ. Π.

(2) διήγειρα (3) *Ναυπηγῶν* (4) ἦλθεν ὧδε (5) *περὶ*, μέχρι τοῦ, *λέγεται*, λείπουσι. (6) καὶ τοῖς (7) μαγγανικῆς (8) ἑστῶτα ξόανα (9) ἅπασα ἡ πόλις.

(10) Ὡς γνωστὸν ὁ ἐπίσκοπος Ἀλεξανδρείας φέρει τοὺς τίτλους *Πάπας* καὶ *Πατριάρχης*.—Σ. Π.

ἕνα τῶν ἐπισκόπων προσεύξασθαι εἰς τὸ καταβληθῆναι (1) αὐτὸ διὰ τῆς προσευχῆς, ὑπακούσαντος καὶ προσευξαμένου τοῦ ἐπισκόπου, οἰκονομίας τινὸς ἕνεκα οὐ κατέπεσε τὸ ζῴδιον (2). Μὴ καταστραφέντος οὖν τοῦ εἰδώλου, πάλιν ἄλλον τὸ αὐτὸ ποιεῖν καὶ (3) προσεύξασθαι προετρέψατο. Ὡς δὲ πάντας προτρεψάμενος εὔξασθαι (4), καὶ πάντων τὴν ὑπακοὴν τοῦ ἀρχιεπισκόπου πληρωσάντων καὶ προσευξαμένων, καὶ τοῦ ἀγάλματος ἐκείνου μὴ πεσόντος, πολλὰ παρακληθεὶς ὑπὸ πάντων ὁ πατριάρχης προσεύξασθαι, αὐτὸς (5) οὐκ ἤθελεν ἐκ ταπεινοφροσύνης τοῦτο ποιῆσαι· ὅμως, ὑπὸ πάντων τῶν ἐπισκόπων (6) παρακαλούμενος, βιασθεὶς προσηύξατο. Προσευξαμένου δὲ αὐτοῦ, ἔτι τὸ ἀναίσχυντον (7) ἐκεῖνο καὶ μάταιον ἄγαλμα, τῇ τοῦ Θεοῦ παραχωρήσει, ἵστατο οὐχὶ τοῦ Θεοῦ τῶν ἰδίων θεραπόντων καὶ ἀρχιερέων παρακούοντος, ἢ ἀτιμάζοντος αὐτούς, μὴ γένοιτο! εἰ γὰρ τοῦτο ἦν, οὐδὲ ἐν τοῖς ἄλλοις εἰσήκουεν αὐτῶν προσευξαμένων (8)· ἀλλ' οἰκονομίας τινὸς ἕνεκα καὶ πρὸς τὸ συμφέρον τοῦτο ἐποίησε. Καὶ γὰρ ὁ Κύριος ἡμῶν, ἡνίκα ἔμελλε μεταμορφοῦσθαι, οὐ πάντας τοὺς ἁγίους ἀποστόλους ἔλαβε μεθ' ἑαυτοῦ ἐν τῷ ἁγίῳ ὄρει Θαβ ὼρ, ἀλλ' οὓς ἐδοκίμασε, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μόνους. Καὶ πάλιν, ἡνίκα τῷ καιρῷ (9) τοῦ πάθους προσεύξασθαι ἔμελλεν, οὐ πάντας λαμβάνει μεθ' ἑαυτοῦ, ἀλλὰ τοὺς προειρημένους, Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην· οὐ τοὺς λοιποὺς ἀτιμάζων, ἢ λυπῆσαι θέλων· ἀπέστω γὰρ ἀπὸ πάσης καρδίας χριστιανῶν οὗτος ὁ (10) λογισμός! ἀλλὰ πρὸς τὸ συμφέρον ἐποίησεν. Οὕτως καὶ ἐνταῦθα πεποίηκε, πρὸς τὸ συμφέρον οἰκονομήσας. Ἐν λύπῃ οὖν πολλῇ καὶ ἀδημονίᾳ ὄντων τῆς τε τῶν ἐπισκόπων συνόδου καὶ τοῦ αὐτῶν προέδρου περὶ τούτου, νυκτὸς ἐπι-

---

(1) ἐπὶ τὸ καταλυθῆναι (2) εἴδωλον (3) *τὸ αὐτὸ ποιεῖν καί*, λείπει (4) *Ὡς δὲ* ἕως *εὔξασθαι*, λείπουσι (5) *αὐτός*, λείπει (6) *τῶν ἐπισκόπων*, λείπει (7) τὸ κενὸν (8) προσευχομένων (9) κατὰ τὸν καιρὸν (10) ὁ τοιοῦτος.



λαβομένης, καὶ τοῦ Πάππα ἀγρυπνοῦντος καὶ πρὸς τὸν Θεὸν προσευχομένου, θεία τις καὶ ἀγγελικὴ δύναμις, ἐπιφανεῖσα αὐτῷ λέγει· Μὴ λυποῦ ὅτι οὐ κατέπεσε τὸ εἴδωλον ἐκεῖνο· ὁ γὰρ Θεὸς βούλεται Σπυρίδωνα, τὸν ἐπίσκοπον Τριμυθοῦντων τῆς νήσου Κύπρου (1) ἐλθεῖν ἐνταῦθα, ὅπως διὰ τῆς τούτου δεήσεως ἡ τοῦ ζῳδίου (2) κατάπτωσις γένηται. Ἀνυπερθέτως οὖν τοῦτον μετάπεμψον. Ἐλθόντος γὰρ αὐτοῦ καὶ πρὸς τὸν Θεὸν προσευξαμένου, τὸ τοῦ ξοάνου ὄψει πτῶμα. Εἰς ἑαυτὸν δὲ ἐλθὼν μετὰ τὴν τοιαύτην ἀποκάλυψιν ὁ Πάππας, εὐθὺς καὶ παραχρῆμα γράμμασι παρακλητικοῖς (3) ἐχρήσατο πρὸς τὸν ἁγιώτατον πατέρα ἡμῶν Σπυρίδωνα, τὰ τοῦ πράγματος σημάνας αὐτῷ. Ἐν οἷς γράμμασι τοιαύτῃ ἐχρήσατο λέξει (4)· Διαβὰς εἰς Μακεδονίαν, βοήθησον ἡμῖν. Μακεδονίαν δὲ τὴν Ἀλεξάνδρου προσαγορεύουσι πόλιν. Ὅς τις ἅγιος πατὴρ ἡμῶν Σπυρίδων, τὴν τοῦ Πάππα παρακλητικὴν ἐπιστολὴν (5) δεξάμενος, ἀναμονῆς πάσης χωρίς, τὴν τοῦ πατριάρχου ὑπακοὴν ἐπλήρωσε· καὶ ἐμβὰς εἰς πλοῖον, ἀπῆρεν ἀπὸ τῆς Κύπρου καὶ ἦλθεν εἰς Ἀλεξάνδρειαν. Καὶ ὁρμίσαντος τοῦ πλοίου κατὰ τὴν Νέαν Πόλιν (6)—τόπος δὲ ἐπίσημος καὶ παρὰ θάλασσαν (7) Ἀλεξανδρείας τυγχάνει—κατέβη ὁ ἅγιος ἀπὸ τοῦ πλοίου. Καὶ κατὰ νοῦν προσευχομένου αὐτοῦ, ἅμα τοῦ πατῆσαι αὐτὸν τὴν γῆν, ἐκεῖνο τὸ ἐκ δαιμονικῆς μαγγανείας ἄγαλμα ἀθρόως τῇ τοῦ Θεοῦ δυνάμει διὰ τῆς προσευχῆς τοῦ ἁγίου σὺν τῷ περιέχοντι αὐτὸ ἀκαθάρτῳ ἱερῷ κατέπεσε. Γνόντες δέ τινες τῶν κληρικῶν καὶ λαϊκῶν τὴν τοῦ εἰδώλου κατάπτωσιν, δρομαῖοι καὶ περιχαρεῖς ἦλθον πρὸς τὸν Πάππαν, καὶ ἀπήγγειλαν (8)

---

(1) Τριμυθοῦντος τῆς Κυπρίων νήσου.

(2) Οἱ Αἰγύπτιοι, ὡς γνωστόν, ἦσαν ζωολάτραι· ἐντεῦθεν καὶ τὰ παρ' αὐτοῖς ζωΐδια, ἤτοι εἴδωλα τῶν ζώων.—Σ. Π.

(3) παραινετικοῖς (4) τοιαύταις λέξεσι (5) παράκλησιν καὶ ἐντολὴν (6) Νεάπολιν (7) παραθαλάσσιος (8) ἀνήγγειλον.

αὐτῷ τὴν τοῦ εἰδώλου κατάπτωσιν. Ὁ δὲ Πατριάρχης, ἀκούσας λέγει αὐτοῖς· Οὐκοῦν, ἵνα ἴδητε ὅτι ὁ Κύριός μου Σπυρίδων ὁ ἁγιώτατος ἐπίσκοπος Τριμυθούντων ἦλθεν· ἀλλὰ σπεύσατε εἰς ὑπάντησιν (1) αὐτοῦ. Οἵτινες κληρικοὶ καὶ λαϊκοί, κατὰ τὴν τοῦ πατριάρχου κέλευσιν (2), ἀπελθόντες εἰς τὴν τοῦ δικαίου ἀπάντησιν, ἐδέξαντο αὐτὸν μετὰ πάσης τιμῆς καὶ χαρᾶς, εὐφραινόμενον ἐπὶ τῇ γενομένῃ τοῦ εἰδώλου καὶ τοῦ ναοῦ (3) καθαιρέσει διὰ τῆς παρουσίας καὶ προσευχῆς αὐτοῦ. Τούτου δὲ τοῦ παραδόξου θαύματος καθ' ὅλης τῆς πόλεως καὶ τῶν κύκλῳ ἐπαρχιῶν γνωσθέντος καὶ διαβοήτου γενομένου, πολλὰ πλήθη ἑλλήνων τε καὶ ἐθνικῶν, ἀνδρῶν τε καὶ γυναικῶν, ἐπίστευσαν τῷ Χριστῷ καὶ προσῆλθον τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ Ἐκκλησίᾳ. Οὕς τινας ὁ Πατριάρχης δεξάμενος, παρεκάλει τὸν ἅγιον δοῦλον τοῦ Θεοῦ Σπυρίδωνα δοῦναι αὐτοῖς τὴν ἐν Χριστῷ σφραγῖδα (4), ὡς δι' αὐτοῦ προσελθοῦσι τῇ τῶν Χριστιανῶν ὀρθοδόξῳ πίστει. Ὁ δὲ ἀληθῶς ταπεινόφρων καὶ ἅγιος τοῦ Θεοῦ ἱεράρχης τοῦτο ποιεῖν (5) ἀνένευσε, τῷ δὲ ἁγιωτάτῳ Πάππᾳ τοῦτο ποιεῖν ἐδυσώπει, ὡς τούτου ὑπὸ τοῦ Θεοῦ προχειρισθέντος αὐτόθι. Ὁ δὲ ἁγιώτατος Πατριάρχης μετὰ πολλῆς αἰδοῦς τε καὶ εὐλαβείας τὰ ὑπὸ τοῦ δικαίου αὐτῷ (6) ἐνταλθέντα, ὡς ὑπὸ Θεοῦ προσαχθέντα ἐποίησε, καὶ ἐβάπτισεν ἅπαντα τὸν προσελθόντα (7) εἰς τὸ ὄνομα τῆς τρισυποστάτου μιᾶς οὐσίας, Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου. Ἐγένετο δὲ μεγάλη χαρὰ καὶ εὐφροσύνη ἐν τῇ Ἀλεξανδρέων μεγαλοπόλει ἐπὶ τῇ τῶν ἐθνῶν καταστροφῇ (8) καὶ σωτηρίᾳ. Οὐ μόνον δὲ ἐν Ἀλεξανδρείᾳ τοῦτο κατάδηλον γέγονεν, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης, καὶ μέχρι Κωνσταντίνου τοῦ βασιλέως ἦλθεν ἡ τοιαύτη ἀκοή. Καὶ πλειόνως ἡ τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος ἐνάρετος καὶ θεοφιλὴς πολιτεία καὶ θαυματουργία

(1) τὴν ἀπάντησιν (2) *κατὰ ἕως κέλευσιν*, λείπουσι (3) ναοῦ αὐτοῦ (4) σφραγίδην (5) ποιῆσαι (6) αὐτῷ, λείπει (7) προσελθόντα λαὸν (8) ἐπιστροφῇ.



εἰς τοὺς ἀνθρώπους διέτρεχεν. Ὁ μέν τοι μακαριώτατος (1) ἀρχιεπίσκοπος ἐπὶ χρόνον τινα τὸν ἅγιον πατέρα ἡμῶν Σπυρίδωνα κρατήσας παρ' ἑαυτῷ καὶ ὡς ἔπρεπε τῇ αὐτοῦ μακαριότητι παντοίως τιμήσας, εὐχαριστῶν αὐτὸν προέπεμψεν ἐν εἰρήνῃ εἰς τὴν ἰδίαν πατρίδα, δοξάζων τὸν Θεόν, τὸν δόξῃ τοιαύτῃ τιμήσαντα τὸν ἑαυτοῦ θεράποντα. Τούτου δὲ τοῦ παραδόξου (2) θαύματος μνημόσυνόν ἐστιν ἔτι καὶ νῦν τοῦ ἁγίου. Ἐν τῇ πόλει γὰρ Τριμυθούντων ἐπάνω τοῦ μέσου Πυλῶνος, ἤγουν τῆς ἀρχοντικῆς θύρας καὶ τοῦ Ναοῦ, ἔγκειται τὸ τίμιον λείψανον τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος, καὶ εἰκών, πᾶσαν τὴν διήγησιν ταύτην (3) ἔχουσα, μετὰ καὶ ἄλλων τινῶν τῶν μὴ γεγραμμένων ἐνταῦθα (4). Οὕτω πανταχοῦ ἐξέλαμψεν ἡ ἐνάρετος καὶ θεοφιλὴς πολιτεία τοῦ ἁγίου τούτου, ὅπως πληρωθῇ καὶ ἐπ' αὐτῷ (5) τὸ ὑπὸ τοῦ Κυρίου ἐν εὐαγγελίοις εἰρημένον πρὸς τοὺς μαθητὰς καὶ ἀποστόλους (6), ὅτι, ὃ εἴπατε ἐν τῇ σκοτίᾳ, ἐν τῷ φωτὶ ἀκουσθήσεται (7), καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμίοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων. Ταῦτα πρὸς ὠφέλειαν καὶ οἰκοδομὴν τῶν ἐντυγχανόντων συνεγραψάμην· ὅπως, ἐν τούτοις τὸν Θεὸν δοξάζοντες, τὴν *μισθαποδοσίαν κομίσησθε*.

Κεφ. κε'. Γενομένου μου πρὸ τούτων τῶν τριάκοντα ἐτῶν ἐν τῇ αὐτῇ Τριμυθουντίων πόλει, ἐν τῇ μνήμῃ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σπυρίδωνος τοῦ θαυματουργοῦ, καὶ ἐμπόνως μου ἐρωτῶντος τὰ περὶ τοῦ βίου τοῦ ἁγίου, ἀνήρ τις πάνυ προβεβηκὼς γέρων λίαν καὶ φιλόχριστος (8) ὑπάρχων, θεωρήσας οὕτω με θερμῶς τὰ περὶ τοῦ ἁγίου περιεργαζόμενον, παρέδωκέ μοι τοῦτο, ὅπερ μέλλω διηγῆσθαι, καὶ αὐτὸς ἐκ παραδόσεως ἄλλων τινῶν παλαιοτέρων αὐτοῦ ἀκούσας καὶ παραλαβών. Ἔλεγεν

(1) μακάριος οὗτος (2) *παραδόξου*, λείπει (3) *ταύτην*, λείπει (4) *ἐνταῦθα*, λείπει (5) ἐπ' αὐτοῦ (6) *καὶ ἀποστόλους*, λείπει (7) φανερωθήσεται.

(8) προβεβηκὼς τὴν ἡλικίαν καὶ φιλόχριστος.

οὖν ὅτι προναύκληρός (1) τις Τριμυθούντων, ἐπὶ τῆς ἐν σαρκὶ ζωῆς τοῦ ἁγίου ἦλθε πρὸς τὸν ἅγιον παρακαλῶν δοθῆναι αὐτῷ ἐν δάνειον, ὀλίγην τινα χρυσίου ποσότητα, ἵνα βάλῃ ἐν τῷ πλοίῳ αὐτοῦ, ὅπως διὰ τῆς περιποιήσεως αὐτοῦ διαθρέψῃ τὸν ἑαυτοῦ οἶκον. Ἦν γὰρ μέτριος πάνυ. Ὁ δὲ ἅγιος τῆς κυρίας (2) φωνῆς ἔτι ὑπήκοος ὤν, μνησθεὶς τοῦ εὐαγγελικοῦ ῥητοῦ, λέγοντος, Καὶ τῷ θέλοντι δ;ιανείσασθαι παρὰ (3) σοῦ μὴ ἀποστραφῇς, ἅπερ εἶχεν εἰς οἰκονομίαν τῆς κατ᾽ αὐτὸν ἁγιωτάτης (4) ἐκκλησίας καὶ τῆς ἰδίας χρείας ὀλίγον ποσὸν (5) δέδωκε τῷ προναυκλήρῳ.

Ἀπελθὼν οὖν ὁ προναύκληρος, καὶ ἀγοράσας τὸ βλησίδιον ἐκ τοῦ λογαρίου τοῦ ἁγίου καὶ πωλήσας, μετὰ τὸ πλώϊμον ἤνεγκε τὸ δάνειον πρὸς τὸν Ἅγιον καὶ ἔδωκεν αὐτό. Ὁ δὲ ἅγιος λέγει αὐτῷ· ἀνάστα (6) τέκνον, καὶ θὲς αὐτὸ ἐν τῷ ἀρμαρίῳ, ὅθεν εἶδές με λαβόντα αὐτό. Ὁ δὲ ἀναστὰς ἐποίησεν ὡς ἐκελεύσθη. Τοῦ δὲ καιροῦ τοῦ πλωΐμου πάλιν ἐλθόντος ἦλθε πάλιν ὁ προναύκληρος πρὸς τὸν συμπαθέστατον πατέρα, θέλων χρήσασθαι τὸ τοιοῦτον ποσόν. Ὁ δὲ ἅγιος τοῦ Θεοῦ ἀρχιερεὺς λέγει αὐτῷ· ὕπαγε ὅπου ἔθηκας αὐτό· λάβε αὐτό· Ὁ δὲ ἀπελθὼν καὶ ἀνοίξας τὸ ἀρμάριον ἔλαβε τὸ χρυσίον· ὅς τις ἀπελθὼν πάλιν καὶ πραγματευσάμενος καὶ εὐοδωθεὶς, πάλιν ἤνεγκε τὸ χρῆμα πρὸς τὸν ἅγιον. Ὁ δὲ ἅγιος πάλιν λέγει αὐτῷ· ὕπαγε, τέκνον, θὲς αὐτὸ εἰς τὸν τόπον αὐτοῦ. Τοῦτο δὲ πολλάκις τοῦ προναυκλήρου ποιοῦντος, καὶ δανειζομένου ἀπὸ τοῦ ἁγίου καὶ πάλιν φέροντος, ἐν μιᾷ ἐλθὼν κατὰ τὸ ἔθος καὶ δανεισαμένου παρὰ τοῦ ἁγίου τὸ χρυσίον, καὶ ποιήσας τὴν χρείαν αὐτοῦ,

---

(1) ναύκληρος (2) κυριακῆς (3) ἀπὸ (4) ἁγίας τοῦ Θεοῦ (5) εἶχε δὲ καὶ τῆς ἰδίας χρείας, ἐν ὀλίγῳ ποσῷ.

(6) Ἐντεῦθεν, μέχρι τοῦ κατωτέρω «ταῦτα τοῦ ἁγίου μεθ᾽ ἡσυχίας» εἰσὶ δυσανάγνωστα ἐν τῷ χειρογράφῳ τῆς Ἑνετίας, ὄντι λίαν ἐφθαρμένῳ.



καὶ πάλιν ἐνέγκας (1) αὐτὸ, ἐφ᾽ ᾧ ἀποδοῦναι τῷ ἁγίῳ, ἀκούσας πάλιν παρ᾽ αὐτοῦ· ὕπαγε, θὲς αὐτὸ ὅπου ἔχεις συνήθειαν τιθέναι αὐτὸ, ἀπελθὼν εἰς τὸ ἀρμάριον καὶ ἀνοίξας, ἐμπαιχθεὶς ὑπὸ τοῦ τῆς φιλαργυρίας καὶ κενοδοξίας πάθους, προσεποιήσατο τιθέναι τὸ χρυσίον, νομίζων λαθεῖν τὸν θεοφόρον πατέρα, καὶ μηδὲν τεθεικὼς, ἠσφαλίσατο τὸ ἀρμάριον καὶ ἀνεχώρησε. Τῷ δὲ καιρῷ πάλιν τοῦ δανείσασθαι παραγενόμενος πρὸς τὸν ἅγιον παρεκάλει αὐτὸν δανεῖσαι αὐτῷ ἐκεῖνο τὸ ποσόν. Ὁ δὲ μακρόθυμος γέρων λέγει αὐτῷ· ὕπαγε, τέκνον, καὶ λάβε αὐτὸ ἐκ τοῦ τόπου αὐτοῦ. Ἀπελθὼν δὲ καὶ ἀνοίξας τὸ ἀρμάριον, καὶ μηδὲν εὑρηκὼς, λέγει τῷ ἁγίῳ· οὐκ ἔστιν ὧδε τίποτε, πάτερ. Λέγει αὐτῷ ὁ ἅγιος· ζήτησον καλῶς· ἐξ ὅτου γὰρ ἔθηκας αὐτὸ, οὐδεὶς ἔλαβεν αὐτὸ ἐκεῖθεν. Ὁ δὲ φησί· πολλὰ ζητήσας καὶ μὴ εὑρηκὼς—οὐ γὰρ ἦν τίποτε τεθεικὼς—λέγει τῷ ἁγίῳ· οὐχ εὗρον, τίμιε πάτερ. Ὁ δὲ ἀπαθὴς τοῦ Θεοῦ ἄνθρωπος λέγει αὐτῷ μετὰ πάσης πραότητος· ἐὰν ἔθηκας αὐτὸ, ἐκεῖ ἐστὶν, εἰ δὲ οὐκ ἔθηκας αὐτὸ, τί ζητεῖς λαβεῖν ὃ οὐκ ἔθηκας; Ταῦτα τοῦ ἁγίου μεθ᾽ ἡσυχίας εἰπόντος πρὸς αὐτὸν, εἰς ἑαυτὸν ἐλθὼν ὁ προναύκληρος καὶ αἰσθανόμενος ὅτι οὐκ ἠδυνήθη λαθεῖν τὸν δίκαιον, πεσὼν εἰς τοὺς πόδας αὐτοῦ μετενόει καὶ παρεκάλει συγγνώμην αὐτῷ δοῦναι (2) τοῦ ἐγχειρήματος. Ὁ δὲ πρᾶος καὶ ἀνεξίκακος πατὴρ ἡμῶν νουθετήσας αὐτὸν μεθ᾽ ἡσυχίας, καὶ διδάξας αὐτὸν μὴ ἐπιθυμεῖν ἀλλοτρίου, ἀλλὰ μᾶλλον ἐκ τοῦ ἰδίου καμάτου διδόναι τοῖς χρῄζουσιν, εὐξάμενος αὐτῷ ἀπέλυσεν ἐν εἰρήνῃ, εὐχαριστοῦντα τῷ Θεῷ ἐπὶ τῇ τοιαύτῃ διδαχῇ καὶ νουθεσίᾳ τοῦ ἁγίου πατρὸς, καὶ θαυμάζοντός μου τὴν γνῶσιν καὶ μακροθυμίαν τοῦ Ἁγίου.

---

(1) Καὶ ἐνταῦθα παρατηρεῖται ἀνωμαλία τῆς συντάξεως τοῦ λόγου, ἐναλλασσομένης τῆς ὀνομαστικῆς καὶ γενικῆς τῶν μετοχῶν.

(2) δοθῆναι.

Κεφ. κς΄. Διηγήσατό μοί τις τῶν λίαν θερμῶς ἀγαπώντων τὸν ἅγιον τοῦ Θεοῦ δοῦλον Σπυρίδωνα, λέγων ὅτι, γενομένου μου ἐν τῇ μνήμῃ αὐτοῦ—τελεῖται δὲ κατὰ τὴν τεσσαρεσκαιδεκάτην (1) ἡμέραν τοῦ Δεκεμβρίου μηνὸς—(2) τὸν (3) τίμιον αὐτοῦ τάφον ἀσπάσασθαι, καὶ τὰς ἁγίας αὐτοῦ εὐχὰς ἐμαυτῷ αἰτήσασθαι, ἡνίκα οὖν, φησὶ, τῷ τάφῳ αὐτοῦ ἐπλησίασα, τοσοῦτον τὴν ἐνέργειαν τῆς ἐπισκοπῆς τοῦ Θεοῦ τὴν γενομένην δι᾽ αὐτοῦ ἐν τῇ καρδίᾳ μου ᾐσθανόμην, ὅτι ὅλην τὴν ἡμέραν ἐκείνην ἀκουσίως (4) ἄφωνόν με συνέβη διαμεῖναι, μὴ δυνάμενον παντελῶς λόγον λαλῆσαι πρός τινα, μή τε μὴν τροφῆς μετασχεῖν, πλὴν τῆς τῶν ἁγίων τοῦ Χριστοῦ Μυστηρίων (5) μεταλήψεως, ἀλλ᾽ ἔξω τοῦ αἰῶνος τούτου δοκεῖν με εἶναι καὶ διάγειν, καὶ τὴν ἄνω δόξαν τὴν ἐν οὐρανοῖς φαντάζεσθαι, καὶ μὴ ἔχειν πάντα τὰ τοῦ κόσμου τούτου δοκοῦντα εἶναι τερπνὰ, ὡς μεγάλα τινὰ, ἀλλὰ μᾶλλον οὐδὲν ταῦτα ἡγεῖσθαι. Οὕτως ἐν ἐμοὶ ἐνήργησεν ἡ χάρις, ἡ οὖσα ἐν τῇ θήκῃ τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος.

Θαρρῶν δὲ τῇ πρὸς ἐμὲ ἀγάπῃ ὁ αὐτὸς ἄνθρωπος καὶ πληροφορούμενος ὅτι οὐδαμῶς τοῖς ὑπ᾽ αὐτοῦ μοι (6) λεγομένοις περὶ τοῦ ἁγίου ἀπιστῶ, ἀλλὰ μᾶλλον πιστῶς τε ἅμα καὶ εὐλαβῶς δέχομαι καὶ φυλάττω καὶ τοῦτό μοι διηγήσατο λέγων ὅτι ἄλλοτε ἀπῆλθον ἐν Τριμυθοῦντι, ἐν τῇ μνήμῃ αὐτοῦ, πρῶτον μὲν τὴν τιμίαν αὐτοῦ σορὸν ἀσπάσασθαι θέλων, καὶ ὡς ζῶντι αὐτῷ καὶ παρόντι περιπλακῆναι, ἔπειτα δὲ καὶ λόγῳ τῶν ἀδελφῶν ἡμῶν τῶν πτωχῶν τὰ (7) ἐνδύματα καὶ σκεπάσματα ἐν τῇ πανηγύρει τῇ αὐτόθι τελουμένῃ ἀγοράσαι· καὶ ἅμα τὸν τίμιον αὐτοῦ τάφον ἠσπασάμην, φησὶ, φωτὸς ἀμέτρου ἐπληρώθη μου ἡ καρδία καὶ χαρᾶς μεγάλης, ὡς ἐντεῦθέν με τὰ τοῖς

(1) δωδεκάτην. (2) Περὶ τῆς ἡμερομηνίας τῆς ἑορτῆς ὅρα ὅσα ἐν τῷ προλόγῳ ἐγράψαμεν.—Σ. Π. (3) ἐπὶ τῷ τὸν (4) ἑκουσίως (5) πλὴν τῆς τοῦ Χριστοῦ (6) μοι, λείπει (7) τά, λείπει.



ἁγίοις δεδόμενα ἀγαθὰ ἐν τῷ μέλλοντι αἰῶνι τεκμήρασθαι, καὶ δοξάζειν τὸν Θεὸν τὸν τοιαῦτα τοῖς δούλοις αὐτοῦ παρέχοντα. Εἶτα ἐξελθὼν ἐν τῇ πανηγύρει καὶ τὰ ἱμάτια ἀγοράσας, μετὰ δύο ἡμέρας, χειμῶνος σφοδροτάτου ἐπικειμένου, ἐμοῦ σπεύδοντος διά τινα πάνυ ἀναγκαίαν χρείαν οἴκαδε ἀναχωρῆσαι καὶ τὴν διακονίαν μου πληρῶσαι, πίστει (1) ἀδιστάκτῳ τῇ εἰς τὸν Θεὸν καὶ τὸν ἅγιον κρατούμενος, φορτώσας τὰ ἄλογα καὶ ἀπελθὼν εἰς τὸν τοῦ Ἁγίου τάφον, καὶ ὡς ζῶντι καὶ παρόντι τῷ δικαίῳ περιπλεκόμενος, καὶ αἰτήσας αὐτὸν συνοδοιπόρον ἐμοί τε καὶ τοῖς ἐμοῖς γενέσθαι καὶ σκεπάσαι ἡμᾶς ἀπὸ τῆς τοῦ ὄμβρου καταφορᾶς καὶ ἀβρόχους ἡμᾶς ἀποκατασταθῆσαι διὰ τὴν τῆς ὁδοῦ δυσχέρειαν, τὴν ἀπὸ τῶν πολλῶν ὑδάτων καὶ πηγῶν, οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ μὴ τὰ ἱμάτια ἐκ τῶν ὑδάτων καταβραχέντα ἀφανισθῆναι, καὶ τὰ ἄλογα ὡς ἐκ τούτου πλειόνως ἀχθοφορεῖν, βαρυτέρων τῶν ἱματίων ἐκ τῶν ὑδάτων γενομένων, βαλὼν (2) τῷ ἁγίῳ μετάνοιαν, ἀσπασάμενος καὶ τὸ θυσιαστήριον, τὸ ὂν ἐν τῇ Ἐκκλησίᾳ, ἔνθα κεῖται τὸ τίμιον αὐτοῦ λείψανον, ἐξελθὼν τῆς πόλεως Τριμυθούντων, ἐγὼ καὶ οἱ σὺν ἐμοὶ ὄντες τῆς ὁδοῦ ἀπηρξάμεθα. Ὁ δὲ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Θεὸς, πᾶσαν τὴν ὁδὸν ἐκείνην, ἐν τοσαύτῃ τῶν νεφῶν τοῦ ἀέρος πληρώσει, ἀβρόχους παρήγαγε ταῖς τοῦ δικαίου ἱκεσίαις· οὐ μὴν ἀλλὰ καὶ τῆς τοῦ ἁγίου συνοδοιπορίας μέχρι τοῦ τόπου, ἔνθα (3) ἠμέλλομεν καταλῦσαι ᾐσθόμην ἕως ἀπὸ τριῶν (4) σταδίων. Ὅς τις ἅγιος, ἀπερχομένους ἡμᾶς μέχρι τοῦ εἰρημένου τόπου ἀποσώσας καὶ ὡσπεροῦν τασσόμενος (5), τῆς καρδίας μου ἁψάμενος, μετέδωκέ μοι τοῦ ἰδίου φωτὸς, ὅπερ παρὰ τοῦ Θεοῦ λαβὼν αὐτὸς ἔχει. Καὶ τοσαύτης εὐφροσύνης ἐπλήρωσέ μοι πάντα (6) τὰ τῆς ψυχῆς καὶ τοῦ νοῦ αἰσθητήρια, ὥστε

(1) πίστει τε (2) βαλὼν οὖν (3) οὗ (4) τριῶν ἢ τεσσάρων (5) ὥσπερ συντασσόμενος (6) πάντα μου.

ΣΥΛΛΟΓΟΣ ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ...

ἐν ἀρρήτῳ χαρᾷ γενέσθαι με ἀπὸ τῆς τοιαύτης ἐνεργείας. Ἀναχωρήσαντος δὲ τοῦ ἁγίου, εὐθέως τοσοῦτος ὑετὸς ἐπὶ τὴν γῆν κατεχύθη (1), ὥστε μετὰ σπουδῆς ἐλαύνειν με τὰ ἄλογα. Καὶ δή, ἡμῶν φθασάντων οἴκαδε, εὐθέως ὁ ὑετὸς ραγδαίως ἐπὶ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας κατῆλθεν· ὥστε θαυμάζειν πάντας, καὶ τοὺς θεασαμένους ἡμᾶς καὶ τοὺς ὑποδεξαμένους ἐπὶ τῇ τοσαύτῃ (2) παραδόξῳ σκέπῃ καὶ σωτηρίᾳ, τῇ γενομένῃ εἰς ἡμᾶς ὑπὸ τοῦ Θεοῦ διὰ τῆς ὁδηγίας τοῦ σεβασμίου πατρὸς ἡμῶν Σπυρίδωνος.

Κεφ. κζ΄. Καὶ τοῦτο δὲ διηγησάμενός μοι ὁ αὐτός, τοῖς εἰρημένοις προσέθηκεν εἰπών· ὅτι, ποτὲ τῆς ἡμέρας τῆς ἁγίας αὐτοῦ μνήμης ἐλθούσης, κάμοῦ μὴ δυνηθέντος ἀπελθεῖν ἐν Τριμυθοῦντι (3), ὥστε τὴν σύναξιν τῆς ἁγίας αὐτοῦ μνήμης αὐτόθι ἐπιτελέσαι, καὶ τῆς χάριτος, τῆς ἀπὸ τῆς τιμίας αὐτοῦ σοροῦ πηγαζούσης, ἐν ἀπολαύσει γενέσθαι, μνησθεὶς τε τοῦ ἁγίου καὶ τῆς Ἐκκλησίας, ἔνθα κεῖται τὸ τίμιον αὐτοῦ λείψανον, καὶ στενάξας, καὶ εἰπών· μνήσθητι ἡμῶν ἅγιε Σπυρίδων καὶ ἐπίσκεψαι ἡμᾶς· εὐθέως, ἅμα τῇ εὐχῇ, ἐπὶ τὴν Ἐκκλησίαν ἔνθα διέτριβον (4) ἀπηρχόμην. Καὶ ἅμα τῇ προόδῳ μου ᾐσθανόμην τῆς τοῦ ἁγίου παρουσίας. Ὅς τις ἅγιος πνευματικῶς τῇ καρδίᾳ μου συγγενόμενος, καὶ ἀσπασάμενός με (5) ἐν τῇ (6) γλυκύτητι τῆς ἀγάπης, τῆς ἀπὸ τοῦ Θεοῦ δωρηθείσης αὐτῷ, μετέδωκέ μοι τοῦ ἰδίου φωτισμοῦ. Καὶ σὺν ἐμοὶ ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ εἰσελθών, ἀπ᾽ ἀρχῆς τῆς εἰς τὴν Ἐκκλησίαν εἰσόδου, μέχρι συμπληρώσεως τῆς τοῦ τρισαγίου δοξολογίας διέμεινε μετ᾽ ἐμοῦ. Καὶ οὕτως, εὐλογήσας ἐμὲ τὸν ἁμαρτωλὸν καὶ πάντας τοὺς συμπαρόντας μοι ἐν τῇ λειτουργίᾳ (7), ἀπέστη.

(1) ἔπεσεν (2) τοσαύτῃ, λείπει.
(3) εἰς Τριμυθοῦντα (4) διατρίβων (5) πνευματικὸς τῇ καρδίᾳ μου συγγενής, ἠσπάσατό με (6) καὶ τῇ (7) τῆς Ἐκκλησίας ἀπέστη.



Κεφ. κη΄. Ταῦτα μαθὼν ἐγὼ παρὰ τοῦ ταῦτά μοι διηγησαμένου ἀναγκαίως γραφῇ παραδέδωκα, ἵνα γνῶμεν πάντες ὡς καὶ μέχρι καὶ νῦν τοῖς ἐν πάσῃ ἀληθείᾳ καὶ ἀδιστάκτῳ καρδίᾳ ἐπικαλουμένοις τὴν ἐκ τοῦ Θεοῦ δωρηθεῖσαν τῷ ἁγίῳ Σπυρίδωνι βοήθειαν, διὰ τῆς ἀκαταπαύστου αὐτοῦ πρὸς τὸν Θεὸν ἱκεσίας πάντα (1) εἰς σωτηρίαν δωρεῖται. Ταῦτα τῇ ἁπλότητι τῆς ἁγίας τοῦ Θεοῦ ἀγάπης διηγησαμένου μοι τοῦ ἀνωτέρω μνημονευθέντος φιλοχρίστου ἀνδρός, θαρρήσας λοιπὸν ἐγώ, προσέθηκα ἐρωτῆσαι αὐτόν· ἀλλὰ ποῖον μέλημα (2) ἔχων οὗτος ὁ ἅγιος Σπυρίδων ἐν τῇ καρδίᾳ αὐτοῦ, τὴν ἀληθινὴν ταπεινοφροσύνην ἐκτήσατο καὶ δι᾽ αὐτῆς πάσας τὰς ἀρετὰς καταπλούτησε; καὶ τίς γέγονεν ἡ αἰτία τῆς ἀρχῆς καὶ τῆς τελειώσεως, τῆς τοσαύτης αὐτοῦ εἰς τοσοῦτον ὕψος τῶν ἀρετῶν προκοπῆς; Ὁ δὲ ἐμβλέψας μοι φαιδρῶς λίαν, καὶ χαριέντως ὑπομειδιῶν τῷ προσώπῳ, εἶπεν· Ἐπειδή περ ἀγάπης Θεοῦ σπονδὰς ἐποιήσαμεν, πρὸς τὴν γνησιότητά σου θαρρῶν καὶ τὴν σὴν εὐλάβειαν, ὡς μετὰ πίστεως τὰ ρηθέντα καὶ ρηθησόμενα κατέχεις, τούτου χάριν οὐδὲ τοῦτον τὸν λόγον κρύψω ἀπὸ σοῦ, ἀλλὰ σὺν ἀληθείᾳ ἅπερ μεμάθηκα περὶ τούτου τοῦ ἁγίου πατρὸς ἡμῶν Σπυρίδωνος λέξω πρὸς τὴν σὴν ἀγάπην.

Εὑρεθέντος μου ποτὲ μετά τινων ἁγίων (3) ἐπισκόπων, οἵτινες μέχρι τοῦ παρόντος ἐνδημοῦσι τῷδε τῷ βίῳ καὶ τὸν ἀέρα τοῦτον ἀναπνέουσι, καὶ συντυχίας αὐτῶν πνευματικὰς ποιούντων πρὸς ἀλλήλους, συμπαρὼν αὐτοῖς ἐγώ, ἤκουον μεθ᾽ ἡσυχίας καὶ ἐπιμελείας τῶν λόγων αὐτῶν, ὧν πρὸς ἀλλήλους ἔλεγον, ἡδυνόμενος τῇ πνευματικῇ αὐτῶν ἀκροάσει. Λαβόντες (4) οὖν τὰ πνευματικὰ ἐκεῖνα πρὸς ἑαυτοὺς ρήματα, ἤγαγον εἰς μέσον καὶ τὸν περὶ τοῦ πατρὸς ἡμῶν Σπυρίδωνος λόγον. Ἐμοῦ δὲ ἐπὶ τῇ μνήμῃ (5) τοῦ ἁγίου πατρὸς πλειόνως διεγερθέντος,

(1) πάντα τὰ (2) ἆρα ποῖον μελέτημα (3) τῶν ἁγίων (4) Λαλοῦντες (5) μνείᾳ.

καὶ ἐν πολλῇ λίαν κατανύξει ἐν δάκρυσι συσχεθέντος ἄφνω ἀνοιχθείσης μου τῆς καρδίας, καὶ ὥσπερ ἐν ἐκστάσει γενομένου μου, ὁ τοὺς θησαυροὺς τῆς σοφίας καὶ τῆς γνώσεως ἔχων ἐν ἑαυτῷ ἀποκρύφους Θεός, ὁ διδάσκων ἄνθρωπον γνῶσιν, ἐδίδαξέ με διὰ τῆς ἁγίας καὶ (1) γλυκυτάτης γνώσεως, τῆς διὰ τοῦ ἁγίου καὶ ὁμοουσίου καὶ ζωοποιοῦ αὐτοῦ Πνεύματος τοῖς πιστοῖς ἐγγινομένης, τὴν τῆς ψυχῆς τοῦ ἁγίου τούτου καὶ ἀοιδίμου πατρὸς ἐν τῷ βίῳ τούτῳ κατάστασιν· καὶ ποίῳ τρόπῳ τῆς τοιαύτης καὶ τοσαύτης ἐν χάριτι Θεοῦ ἠξιώθη ἀρετῆς τε καὶ προκοπῆς, καὶ τῆς εἰς τοσοῦτον ὕψος τῆς κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ κατὰ τὸ δυνατὸν ἀνθρώποις (2) ἀναβάσεως. Ἔστι δὲ ἡ αἰτία καὶ ὁ τρόπος τῆς τοιαύτης ταπεινοφροσύνης καὶ προκοπῆς ἡ τοῦ Κυρίου ἐν τοῖς Εὐαγγελίοις αὐτοῦ ἐντολὴ καὶ διδασκαλία, ἡ πρός τε τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους. Φησὶ γὰρ ὁ θεῖος Ματθαῖος ὁ εὐαγγελιστής· «Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες· Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; Καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον (3), ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν καὶ εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε (4) καὶ γένησθε ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅς τις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτος ἐστὶ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν». Ταύτην τὴν ἀρετὴν ἐδίδαξε τὸ Πνεῦμα τὸ ἅγιον ἐσχηκέναι τὸν ἡγιασμένον Σπυρίδωνα δι' ὅλου τοῦ τῆς ἐν σαρκὶ αὐτοῦ ζωῆς χρόνου. Πάντοτε γὰρ ἐν ἁπλότητι καρδίας ἔζησεν, ἀεὶ ἐν νῷ ἔχων τὴν τοιαύτην στοργήν, καὶ τοιοῦτον (5) ἑαυτὸν πάντοτε ἑκουσίως παριστῶν τῷ Θεῷ, ἐν ἀληθείᾳ καὶ ἁπλότητι καρδίας ζήσας, προέκοψε καὶ εἰς τοσαύτην ἀνάβασιν τῆς πνευματικῆς προκοπῆς ἔφθασε, τοιοῦτον ἀεὶ ἑαυτὸν ἐννοῶν, καὶ ἔχων ἐμετρίαζε.

---

(1) *ἁγίας καί*, λείπουσι (2) τῶν ἀνθρωπίνων (3) παιδάριον (4) ἐπιστραφῆτε.
(5) Μετὰ τῆς λέξεως ταύτης λήγει καὶ ὁ τῆς Ἐνετίας Κώδηξ, κατὰ τὸν Σεβ. ἀρχιεπίσκοπον Νικοκάβουραν.—Σ. Π.



Ταῦτα ἀκούσας ἐγὼ παρὰ τοῦ φιλανθρώπου ἀνδρὸς προσέθηκα τούτῳ τῷ συγγράμματι, πρὸς δόξαν μὲν καὶ ἔπαινον τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος τοῦ Θεοῦ ἡμῶν, τοῦ ταῦτα ἐνεργοῦντος εἰς τοὺς ἑαυτοῦ δούλους, τιμὴν δὲ τοῦ ἁγίου καὶ σεβασμίου πατρὸς ἡμῶν Σπυρίδωνος. Ἔστι δὲ καὶ πρὸς ὠφέλειαν καὶ ζῆλον, καὶ μίμησιν, καὶ προκοπήν, καὶ ὑπογραμμὸν τῶν θελόντων ἐν ἀληθείᾳ καὶ ἐξ ὅλης ψυχῆς τὴν ἑαυτῶν σωτηρίαν κατὰ τὸ ἀποστολικὸν λόγιον μετὰ φόβου καὶ τρόμου κατεργάζεσθαι. Δυνατὸς δὲ ὁ Θεὸς πάντας κινῆσαι πρὸς τὴν τοιαύτην μίμησιν, ἵνα τύχωμεν ἅπαντες τῆς βασιλείας τῶν οὐρανῶν· πρεσβείαις τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τοῦ ἁγίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σπυρίδωνος, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

---

**Σημείωσις.**—Ὁ ἐν Μονάχῳ καθηγητὴς Κ. Κρούμπαχερ ἐν τῇ *Ἱστορίᾳ τῆς Βυζαντινῆς λογοτεχνίας* (Τόμ. Α'. Μέρος Α'. Θεολογία, Συναξάρια. § 86) γράφει· «Βιογραφία Σπυρίδωνος Ἐπισκόπου Τριμυθοῦντος, οὗ τὸν βίον συνέγραψε καὶ ὁ ἐπίσκοπος Πάφου Θεόδωρος παρεδόθη εἰς ἡμᾶς ἐν τῇ μετασκευῇ Συμεῶνος τοῦ Μεταφραστοῦ. Ἀλλ' ἴσως ἐν τῇ πρώτῃ αὐτῆς μορφῇ διεσώθη αὕτη μεταξὺ τῶν ἐν χειρογράφοις ἀποκειμένων βίων τοῦ εἰρημένου Ἐπισκόπου.

»Τὴν βιογραφίαν ἀνέγνωσεν ὁ συγγραφεὺς αὐτῆς Θεόδωρος ἐπίσκοπος Πάφου κατὰ τὴν ἑορτὴν τοῦ ἁγίου τῷ 665, ἐν τῷ ναῷ Τριμυθοῦντος. Τινὰ τεμάχια αὐτοῦ ἐξέδωκεν ὁ Usener, ἐν Jahrbuch. f. Pr. Theolog. 13 (1887). Διεσώθη ὁλόκληρος ἐν τοῖς Κώδηξ. Paris. 1451, fol. 52 ἕως 87.—Vindob. Histor. 28, fol. 136 ἕως 161.—Sabbait. 18 Saec. 10 fol. 305 ἕως 27 καὶ ἀλλαχοῦ».

Ἐκ τῶν ἀνωτέρω τοῦ Κρούμπαχερ εἰδήσεων, ἃς ἀνέγνωμεν μετὰ τὴν ἐκτύπωσιν τοῦ ἡμετέρου προλόγου, πρῶτον μὲν πληροφορούμεθα ὅτι καὶ ἐν Παρισίοις ὑπάρχουσιν ἀντίγραφα τῆς παρ' ἡμῶν δημοσιευομένης Βιογραφίας τοῦ Ἁγίου Σπυρίδωνος, καὶ ὅτι ἤδη τῷ 1887 ἐδημοσιεύθησαν τεμάχια μόνον τινὰ αὐτῆς· δεύτερον δὲ ἐπιβεβαιοῦνται πληρέστατα οἱ ὑπολογισμοὶ ἡμῶν ὅτι ὁ Θεόδωρος Πάφου ἤκμασε περὶ τὰ μέσα τοῦ ἑβδόμου αἰῶνος (665), καὶ ὅτι τὴν βιογραφίαν αὐτοῦ μετεσκεύασε συντομῶν Συμεὼν ὁ Μεταφραστής.

ΣΠ. ΠΑΠΑΓΕΩΡΓΙΟΣ

*Νοέμβιος* 1901.

---

**Παρόραμα.**—Σελ. η'. στίχ. 18, ἀντὶ κα'. γράφε κβ'.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**ΕΝ ΑΘΗΝΑΙΣ**

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΚΑΤΑΣΤΗΜΑΤΩΝ

*ΜΙΧΑΗΛ Ι. ΣΑΛΙΒΕΡΟΥ*

1901